σχοῖνος 120 feet square (= actus). Eachoχοῖνος divided into 30 ὀρέγματα (Dict Ant)

κλείδας Ζωπύρω, καθὰ (ὡ)ρ(ί)ξαν καὶ ἐτερμ[άξ]αν καὶ [συνεμετρήσαν] καὶ ἐμερί[ξαν τῶ]ν Ἡρακλείων διαγνόντων ἐν κατακλήτῳ ἀλίᾳ.

[Συν]εμετρή[σαμ]ες δὲ ἀρξαμέ[νοι] ἀπὸ τῶ ἀντόμω τῶ ὑπ[ὲρ Πανδοσίας ἄγοντος τῶ] διατάμνοντος τώς τε ἰαρὼς χώ[ρ(ω)]ς καὶ τὰν Ϝιδίαν γᾶν ἐ[πὶ τὸν ἄντομον τὸν] ὁρίζοντα τώς τε τῶ Διονύσω χώρως [καὶ τ]ὸν Κωνέας ὁ Δίωνος ἐπᾱμώχη. Κατετάμομες δὲ μερίδας τετόρας· τὰν μὲν πράταν μερίδα [ἀπὸ τῶ] ἀντόμω τῶ πὰρ τὰ Ἡρῴδεια ἄγοντος εὖρος ποτὶ τὰν τριακοντάπεδον τὰν διὰ τῶν ἰαρῶν χώρων ἄγωσαν, μᾶκος δὲ ἄνωθα ἀ[πὸ τᾶν ἀποροᾶ]ν ἄχρι ἐς ποταμὸν τὸν Ἄκ[ι]ριν, καὶ ἐγένοντο μετρι[ωμέναι ἐν ταύτ]ᾳ τᾷ μερείᾳ ἐρρηγείας μὲν δι[ακατίαι μία σχοίν]οι, σκίρω δὲ καὶ ἀρρή[κτω καὶ δρυμῶ Ϝεξακατίαι τετρώκοντα Ϝ[ἐξ] σχοίνοι ἡμί[σχοινον· τὰν δὲ δ]ευτέραν μερίδα εὖρος ἀπὸ τᾶς τριακονταπ[έδω ἐπὶ τὸν ἄντομον τὸν] πρᾶτον, μᾶκος δὲ ἀπὸ τᾶν ἀποροᾶν ἄχρι ἐς [ποταμόν, καὶ ἐγένοντο μετρι]ωμ[έναι] ἐν ταύτᾳ τᾶ[ι μ]ε[ρεία ἐρρηγείας μ[ὲ]ν [διακατίαι] ἑβδεμήκοντα τρῖς σχοίνοι, σκίρω δὲ καὶ ἀρρήκτω καὶ δρυμῶ πεντακατίαι σχοίνοι· τὰν δὲ τρίταν μερίδα εὖρος ἀπὸ τῶ ἀντόμω τῶ πράτω τῶ πὰρ τὰν τρι[ακοντάπεδον ἄγον[τος ἐπὶ τὸν ἄν]τομον τὸν δεύτερον [ἀπὸ τᾶς τρια]κονταπέδω, μᾶκ[ος ἀπὸ τᾶν ἀπο]ροᾶν ἄχρι ἐς ποταμόν, καὶ ἐγέ[νοντο μετριωμέναι [ἐν ταύτᾳ τᾷ] μερείᾳ ἐρρηγείας μ[ὲν τρι]ακατίαι δέκα δύο σχοίνοι ἡμίσχοινον, σκίρω [δὲ] καὶ ἀρρήκτω καὶ δ[ρυ]μῶ πεντα[κατίαι τριάκοντα ἑπτὰ ἡμίσχοινον· τὰ[ν δὲ] τετάρταν μερίδ[α ε]ὖρος ἀπὸ τῶ ἀντόμω τῶ δευτέρω ἀπὸ τᾶς τριακ[οντα]πέδω ἐπὶ [τὸν ἄντ]ομον τὸν ὁρίζοντα τάν τε ἰαρὰν κ[αὶ τ]ὰν Ϝιδίαν γᾶν, μᾶκος δὲ ἀπὸ τ[ᾶν ἀπο]ροᾶν ἄχρι ἐς ποταμόν, καὶ ἐγέν[οντο] μετριω[μέναι ἐν ταύτᾳ τᾷ μερείᾳ ἐ]ρρη[γείας μὲν τριακα[τί]αι ὀκτὼ σχοίνοι ἡμίσχοινον, σκίρω δ[ὲ καὶ ἀρρ]ήκτω καὶ δρυμῶ πεντακατίαι τετρώκοντα [μία] ἡμίσχοινον. Κεφαλὰ πάσας ἐρρηγείας χιλίαι ἐνε[νήκο]ντ[α πέ]ντε [σχοίνοι]. σκί[ρω δὲ καὶ ἀρρήκτω καὶ δρυμῶ δισχιλίαι διακατίαι Ϝίκατι πέντε· τὰν δὲ νᾶσον τὰν ποτιγεγενημέναν ἐς τὰν ἄρρηκτον γᾶν [συνεμε]τρήσαμες. — Ἀπὸ ταύτας τᾶς γᾶς ἀπολώλη ἐρρηγείας μὲν τριακατίαι τρῖς σχοίνοι ἡμίσχοινον, σκίρω δὲ καὶ ἀρρήκτω καὶ δρυμῶ τετρα[κοσίαι τριάκοντα πέντε σχοίνοι, ἐμ μὲν τᾷ πράτᾳ [μ]ερείᾳ τᾷ πὰρ τὰ Ἡρῴδεια ἐρρηγείας μὲν

ἑβδεμήκοντα ϝὲξ σχοίνοι, σκί|ρω δὲ καὶ ἀρρήκτω καὶ ὄρυμῶ ἑκατὸν ὀγδοήκοντα πέντε σχοί|νοι, ἐν δὲ τᾷ τετάρτᾳ μερεί|ᾳ πὰρ τὰ Φιντία ἐρρηγείας μὲν || διακατίαι ϝίκατι ἑπτὰ σχοίνοι ἡμίσχοινον, σκίρω δὲ καὶ ἀρρή|κτω καὶ ὄρυμῶ διακατίαι πεντήκοντα σχοίνοι· κεφαλὰ πά|σας γᾶς ἃς κατε[σψ]αμες τ[ῷ] Διονύσῳ ἑπτακατίαι τριά|κοντα ὀ[κτὼ] σχοίνοι ἡμίσχοινον. Ταύτο[ν] τὰν γᾶν κατεσώ[ισα]μες ἐγδικαξαμ[έ]νοι δίκας τ[ρι]ακο[σ]ταίας τοῖς τὰν ἰαρ[ὰν] γὰ[ν ϝι]δίαν ποιόντασσιν. Αὗτα ἐμισθώθη ἃ γὰ κατὰ βίω [ἀφ' ὧ]ν [α]μὲς κατεσφσαμες τριακατίων μεδίμνων τὸ ϝέτος ἕκαστον, | ἃ δὲ πᾶσα γᾶ ἃ τῶ Διονύσω τετρακατίων δέκα μεδίμνων, κάδ|διχος, τὸ ϝέτος ἕκαστον.

Ἐστάσαμες δὲ καὶ ὅρως ἐπὶ μὲν τᾶς | πλευριάδος ἄνω· ἕνα μὲν ἐπὶ τῶ ἀντόμω τῶ πὰρ Πανδοσίαν || τῶ πὰρ τὰ Ἡρῴδεια τῶ ὁρίζοντος τάν τε ἰαρὰν γᾶν καὶ τὰν ϝιδίαν, | ἀνχωριξάντες ἀπὸ τᾶν ἀποροᾶν ἐς τὰν ϝιδίαν γᾶν, ὡς μὴ καταλυμακωθὴς ἀδηλωθείη καθὼς τοὶ ἔμπροσθα ὅροι· ἄλλον δὲ ἐπὶ τῶ ἀν|τόμω τῶ πὰρ τὰ Φιντία ἄγοντος ἐστάσαμες πὰρ τὰν βυβλίαν καὶ | τὰν διώρυγα, ἀνχωριξάντες ὡσαύτως ἐς τὰν ϝιδίαν γᾶν. * Ἄλ|λως δὲ ἀντόρως τούτοις ἐστάσαμες ἐπὶ τᾶς ἀμαξιτῶ τᾶς διὰ τῶ χα|ράδεος ἀγώσας τᾶς πὰρ τὸν ὀρυμόν, τὰς μὲν στάλας ἐς τὰν ἰαρὰν | γᾶν, τὼς δὲ ἀντόρως ἐς τὰν ϝιδίαν γᾶν, καταλιπόντες ϝικατίπεδον | ἄντομον. Ἐστάσαμες δὲ καὶ μεσσόρως, δύο μὲν ἐπὶ τᾶς ὁδῶ τᾶς | ἀγώσας ἔκ τε πόλιος καὶ ἐκ Πανδοσίας διὰ τῶν ἰαρῶν χώρων, δύο || δὲ ἐν ταῖς ἀκροσκιρίαις. Τούτως πάντας ἂν εὐθυωρείαν ὁμολό|γως ἀλλάλοις, τὼς μὲν ἐς τὸ ἰαρὸν πλάγος τῶ ἀντόμω ἐπιγε|γραμμένως ἰαρὼς Διονύσω χώρων, τὼς δὲ ἐν τᾷ ϝιδίᾳ γᾷ ἐπι|γεγραμμένως ἀντόρως. Ὡσαύτως δὲ καὶ ἐπὶ τῶ ἀντόμω τῶ | πὰρ τὰ Φιντία ἄγοντος ἐστάσαμες μεσσόρως, δύο μὲν ἐπὶ | τὰς ὁδῶ τᾶς ἐκ πόλιος καὶ ἐκ Πανδοσίας ἀγώσας διὰ τῶν | ἰαρῶν χώρων, δύο δὲ ἐπὶ τᾶν ἀκροσκιριᾶν πὰρ τὰς τυρείας· | τούτως πάντας ὁμολόγως ἂν εὐθυωρείαν τοῖς ἐπὶ τᾶς ὁδῶ | τὰς διὰ τῶ χαράδεος ἀγώσας πὰρ τὸν ὀρυμόν, τὼς μὲν ἐς τὸ ἰαρὸν | πλάγος ἐπιγεγραμμένως ἰαρὼς Διονύσω χώρων, τὼς δὲ ἐς τὰν ϝιδί|αν γᾶν ἐπιγεγραμμένως ἀντόρως, ἀπεχόντας ἀπ' ἀλλάλων ὡς ἦ|μεν ϝικατίπεδον ἄντομον. Ἐπὶ δὲ τὰς τριακονταπέδω τᾶς διὰ τῶν ἰ|αρῶν χώρων ἀγώσας ἐπὶ μὲν τᾶς πλευριάδος ἄνω δύο, ἀπεχόντας ἀπ' ἀλ|λάλων τριάκοντα

47. — σῳ ξαμες 41 30

50: ποϊόντασσιν : analogue of ἐντ.ασσι < ἄσσι < sntsi. Rounding was added again to the stem ἐντ-. K.-Z. XXV 570, XXIX 550.

52. Κάδδιξ = ἡμίεκτον. Another form is κάδδιχος· ἡμίεκτον. ἄδδιξ = μέτρον ἑξαχοίνικον Pollux. IX 76, 8 = τετραχοίνικον from Aristophanes. Hesych. cad. asterisk

59: from Phoenician Byblos. cf. Βύβλινος οἶνος Athen. I 24

67. ἔτω: homonyma

letting sacred lands in Delos C.I.A. I 283 (434 B.C.)

6. περιθωσώνται perf mid subj 3 pl

Two classes of emblethers. 1 Those to whom the first letter and
2 b. the whole field. 2 Those to whom emblethe the fruits which
he manages as steward or bailiff (ἐπιτάν). 3. Those to whom letter-rent
be produced. ἐπιτρόπους παρασκευασθῆ. 3 pl

πόδας, ἄλλως δὲ ἀντόρως τούτοις ἐπάξαμες πὰρ | τὰν ὁδὸν τὰν πὰρ τὸν δρυμὸν ἄγωσαν δύο, ἀπεχόντας ἀπ' ἀλλάλων ‖ τριάκοντα πόδας· ἐν δὲ μέσσῳ τῷ χώρῳ ἐπὶ τᾶς τριακονταπέδω τε|τόρας ἀπεχόντας ἀπ' ἀλλάλων ᾗ μὲν τριάκοντα πόδας ᾗ δὲ ϝίκα|τι· ἐπὶ δὲ τῶ ἀντόμω τῶ πὰρ τὰν τριακοντάπεδον | δύο ἀπεχόντας ἀπ' ἀλ|λάλων ϝίκατι πόδας, καὶ ἄλλως ἐπὶ τῶ δευτέρω ἀντόμω ἀπεχόντας | ἀπ' ἀλλάλων ϝίκατι πόδας· τούτως πάντας ἀνεπιγρόφως ὁριζόντας ‖ τὰς μερείας τὰς πὸτ ἀλλάλως τοῖς μεμισθωμένοις τὼς ἰαρὼς χώ|ρως. Τὼς δὲ πάντας χώρως τὼς τῶ Διονύσω τερμάζοντι τοί τε ἀντόμοι | ὅ τε πὰρ τὰ Ἡρῴδεια ἄγων καὶ ὁ πὰρ τὰ Φιντία ἀπὸ τᾶν ἀποροᾶν ἄνω|θα ἄχρι ἐς ποταμὸν τὸν Ἄκιριν. Ἀριθμὸς ὅρων, τῶν ἐστάσαμες, τῶν μὲν | ἐπὶ τῶ ἀντόμω τῶ πὰρ τὰ Ἡρῴδεια ἑπτὰ σὺν τῷ ἐπὶ τᾶς πλευριάδος, ‖ ἐπὶ δὲ τᾶς τριακονταπέδω ὀκτὼ σὺν τῷ τετρώρῳ, ἐπὶ δὲ τῶ ἀντόμω | τῶ τε πὰρ τὰν τριακοντάπεδον καὶ τῶ ἐχομένω δύο ἐφ' ἑκατέρω, ἐπὶ δὲ τῶ | πὰρ τὰ Φιντία ἑπτὰ σὺν τῷ πὰρ τὰν βυβλίναν μασχάλαν καὶ πὰρ τὰν δι|ώρυγα. |

Συνθήκα Διονύσω χώρων. ‖

Ἐπὶ ἐφόρῳ Ἀριστίωνος, μηνὸς Ἀπελλαίω, ἃ πόλις καὶ τοὶ πολιανόμοι, ἀσ βότρυς Τίμαρ|χος Νίκωνος, ϝε ἄνθεμον Ἀπολλώνιος Ἀπολλωνίω, καὶ τοὶ ὁρισταί, ϝε τρίπους Φιλώνυ|μος Ζωπυρίσκω, πε καρύκειον Ἀπολλώνιος Ἡρακλήτω, αἰ πέλτα Δάζιμος Πύρρω, | κν θρῖναξ Φιλώτας Ἰστιείω, με ἐπιστύλιον Ἡρακλείδας Ζωπύρω, μισθῶντι τὼς ἰ|αρὼς χώρως τὼς τῶ Διονύσω, ἐχόντας ὡς ἔχοντι, κατὰ βίω, καθὰ τοὶ Ἡρακλείοι διέ|γνον. Τοὶ δὲ μισθωσαμένοι καρπευσόνται τὸν ἀεὶ χρόνον, ἃς κα πρωγγύως ποτάγων|τι καὶ τὸ μίσθωμα ἀποδιδῶντι πὰρ ϝέτος ἀεὶ Πανάμω μηνὸς προτερείᾳ· καὶ (αἴ) κ' ἔμπροσθα | ἀποδίνωντι, ἀπαξόντι ἐς τὸν δαμόσιον ῥογὸν καὶ παρμετρησόντι τοῖς σιταγέρταις τοῖς | ἐπὶ τῶν ϝετέων τῷ δαμοσίῳ χοῖ μεστὼς τὼς χοῦς κριθᾶς καθαρᾶς δοκίμας, οἵας κα ἀγᾶ | φέρει. Ποταξόντι δὲ πρωγγύως τοῖς πολιανόμοις τοῖς ἀεὶ ἐπὶ τῶν ϝετέων ἔντασσιν πὰρ ‖ πενταετηρίδα ὥς κα ἐθελόντες τοὶ πολιανόμοι δεκώνται, καὶ αἴ τινί κα ἄλλῳ | παρδῶντι τὰν γᾶν, ἄν κα αὐτοὶ μεμισθωσώνται, ἢ ἀρτύσωντι ἢ ἀποδώνται τὰν ἐ|πικαρπίαν, ἂν αὐτὰ τὰ παρέξόνται πρωγγύως οἱ παρλαβόντες ἢ οἷς κ' ἀρτύσει ἢ οἱ πρι|αμένοι τὰν ἐπικαρπίαν, ἂν ἃ καὶ ὁ ἐξ ἀρχᾶς μεμισθωμένος. Ὅστις δέ κα μὴ

ποτάγει πρωγγύ|ως ἢ μὴ τὸ μίσθωμα ἀποδιδῷ κὰτ τὰ γεγραμ-
μένα, τό τε μίσθωμα διπλεῖ ἀποτεισεῖ τὸ ἐπὶ τῶ ϝέτεος καὶ
τὸ ἀμπώλημα τοῖς τε πολιανόμοις καὶ τοῖς σιταγέρταις τοῖς
ἀεὶ ἐπὶ τῶ ϝέτεος, ὅσσῳ κα | μείονος ἀμμισθωθῆ πὰρ πέντε
ϝέτη τὰ πρᾶτα, ὅτι κα τελέθει ψαφισθὲν ἅμα πὰν τῷ πράτῳ |
μισθώματι, καὶ τὰ ἐν τᾷ γᾷ πεφυτευμένα καὶ οἰκοδομημένα |
πάντα τᾶς πόλιος ἐσσόνται.

Ἐργαξόν|ται δὲ κὰτ τάδε. Ὁ μὲν τὸν πρᾶτον χῶρον μισθω-
σάμενος τὸν πὰρ τὸν ἄντομον τὸν ὑπὲρ Πανδοσί|ας ἄγοντα τὸν
πὰρ τὰ Ἡρῴδ|εια ἄχρι τᾶς τριακονταπέδω ἀμπέλων μὲν φυ-
τευσεῖ μὴ μεῖον ἢ δέκα ‖ σχοίνως, ἐλαιᾶν δὲ φυτὰ ἐμβαλεῖ
ἐς τὰν σχοῖνον ἑκάσταν μὴ μεῖον ἢ τετόρας ἐς τὰν | δυνατὰν
γᾶν ἐλαίας ἔχεν· αἰ δέ κα μὴ φᾶντι τοὶ μεμισθωμένοι δυνα-
τὰν ἦμεν ἐλαίας ἔ|χεν, τοὶ πολιανόμοι τοὶ ἀεὶ ἐπὶ τῶν ϝετέων
ἔντες καὶ αἴ τινάς κα ἄλλως τοὶ πολιανόμοι ποθε|λῶνται ἀπὸ
τῶ δάμω, ὀμοσάντες δοκιμαξόντι καὶ ἀναγγελίοντι ἐν ἀλίᾳ
θασαμένοι τὰν | γᾶν πὸτ τὰν τῶν ἐπιχωρίων. Ἐπιμελησόνται
δὲ καὶ τῶν ὑπαρχόντων δενδρέων· αἰ δέ τινά κα ‖ γήρᾳ ἢ
ἀνέμῳ ἐκπέτωντι, αὐτοὶ ἐξόντι. Ταῦτα δὲ πάντα πεφυτευ-
μένα παρέξόντι καὶ ἐνδε|διωκότα, ὅσσα ἐν τᾷ συνθήκᾳ γεγρα-
ψάται, ἐν τῷ πέμπτῳ καὶ δεκάτῳ ϝέτει ἀπὸ τῶ ποτεχεῖ
ϝέ|τεος ἢ Ἀριστίων ἐφορεύει. Αἰ δέ κα μὴ πεφυτεύκωντι
κὰτ τὰ γεγραμμένα, κατεδικάσθεν πὰρ μὲν τὰν | ἐλαίαν δέκα
νόμως ἀργυρίω πὰρ τὸ φυτὸν ἕκαστον, πὰρ δὲ τὰς ἀμπέλως
δύο μνᾶς ἀργυρίω πὰρ τὰν | σχοῖνον ἑκάσταν. Τὼς δὲ πολια-
νόμως τὼς ἐπὶ τῶ ϝέτεος ποθελομένως μετ' αὐτὸς αὐτῶν ἀπὸ
τῶ ‖ δάμω μὴ μεῖον ἢ δέκα ἄνδρας ἀμφιστάσθαι, ἦ κα πε-
φυτεύκωντι πάντα κὰτ τὰν συνθήκαν, | καὶ τὼς πεφυτευκότας
ἀνγράψαι ἐς δόγμα, ἀνγράφεν δὲ ὅσσα κα πεφυτεύκωντι, ἂν
αὐτὰ δὲ τὰ | καὶ εἴ τινές κα μὴ πεφυτεύκωντι κὰτ τὰν συν-
θήκαν, ἀνγραψάντω καὶ ἐπελάσθω τὰ ἐπιζάμι|α τὰ γεγραμ-
μένα πὸτ τῷ ἄλλῳ μισθώματι. Αἰ δέ τίς κα ἐπιβῇ ἢ νέμει
ἢ φέρει τι τῶν ἐν τᾷ ἱαρᾷ | γᾷ ἢ τῶν δενδρέων τι κόπτῃ
ἢ θραύῃ ἢ πριῷ ἢ ἄλλο τι σινήται, ὁ μεμισθωμένος ἐγδι-
καξή|ται ὡς πολιστων (?), καὶ ὅτι κα λάβει, αὐτὸς ἐξεῖ. Τὰς
δὲ τράφως τὰς διὰ τῶν χώρων ῥεώσας καὶ | τὼς ῥόως οὐ κα-
τασκαψόντι οὐδὲ διασκαψόντι τῷ ὕδατι οὐδὲ ἐφερξόντι τὸ ὕδωρ
οὐδ' ἀφερξόν|τι, ἀνκοθαρίοντι δὲ ὁσσάκις κα δεώηται τὰ πὰρ τὰ
αὐτῶν χωρία ῥέοντα, οὐδὲ τὰς ὁδὼς τὰς ἀπο|δεδειγμένας ἀρα-

109. διπλεῖ Gortyna, Lo Kuio . Mss. lo. 367 from διπλόος < -πλοος ἀμβοηδύς
ε. δοος , λαβρός < -βοος , ὀλέ < ὀλοέ, δορυφές < -φοέ

113. χῶρος = μερίς ἀ μερία

ἐς τὴ δυνατόν Hdt. Plato , [illegible]

Μαίρ[illegible]τιτιτα . cf. διώ-κω (ἐρύκω ἐρύομαι)
γεγραφάναι Curt. Verb II 253. aspirate perfect from (from πτω). cf. Ἴσσαοι Z 151
Athen. 333

123. νόμος [illegible] nummus fuit = aestartium
Hemmay — general. Ancient Attic = borrowed from Greek. Mss. 44
Sicilian and Italiote coins. Uses Epicharm. 92. 93 Ath. cf. Athen. 390
Bonell = drachma

124 μετ' αὐτὸς αὐτῶν : Ath. 274 . αὐτός wider. Use expression stands midway between
μετ' αὐτὸς αὐτῶν and μετ' αὐταυτῶν

127 ἐπελάθω:
128. ἐπιβῆ ~ ατη
130. from πρίω and πρίω. fut. πριωσεῖ 135

from = ἀπόλιστος ἐξ ἀπόλλυμι . cf. περιπολιστικός (dispersed from ὁλόλλυμι)

131 τὸ ἀπεργμένον Hdt. III 79 [illegible] Vide Cauer Grammatica [illegible]
= walls. cf 47, 105

133 ἀράω = βλάπτω . ἀργμένος Ar. XVIII. 435 harassed, worn out
καμάτῳ ἀρ. J. 12

34. Ελαιοκλοιάδες in the vine

36. γαιών heap of earth, boundary heap. γαιῶν Sicil. [illegible], (γαιεώναν
cf. ἀκανθεών hedge thorns, δενδρών thicket, ἀχυρών heap chaff. ἀμπελών vineyard
στιγν- εών uncanceis room. Καλαμών - εών reed bed. οἰνών - εών ; ῥοδωνών - εών
τήνοι ii, of one pixel regenerate
σαρμενών: dry sand σαρμός · σωρὸς γῆς ... ἄλλοι ψάμμον
37. τοφιών tuff. alone quarry. Lat. tophus cf. tōfus
Athens 286. 333 look. οἰκοδομήσαι ex ref. auth. I. pranul.
9. μυχός granary? etc. to granaries = μυχοὶ πόλεως Xenophon (Hellen. X. 4, 14 C)
from gd answering quae agriculturae necessaria sunt
χυρίος palearium chaff-loft · ἀχυρός chaff heap

[illegible] ἡ Rem omittens. cf. 107. 120.

2. πεφυτευκήμεν· (cf. Boiōt. καρτερήμεν.) eo forma ac if from -εω

1. (on taking wood from a sacred place of grounds (Ἐφ ἀρχ. 3, 39). slave emerged free man refuses to king and 'emate. (Macad. period)
I.A. II 1054 τὴι δὲ ὕλην καὶ τὴν γῆν μὴ ἐξέστω ἐξάγειν .. μήτε ἐκ τοῦ βηστείου μήτε ἐκ τῶν ἄλλων τεμενῶν ; Ditt. Syll. 113, 37 . Andania Cauer 47, 81 . Ditt. 359, 5.
ἡ ἦτρα .. Ταραντῖνοι δὲ νόμον καὶ οἷον ψήφισμα

τίμημα pretium pro fundo adsignato accepti

cf. καταβηλιένανσι, Gortyna 113, 3.

βήτειμεν · κώδωμα Λάκωνες

σόντι οὐδὲ συνέρξόντι οὐδὲ κωλυσόντι πορευέσθαι· ὅτι δέ κα τούτων τι ποί|ωντι πὰρ τὰν συνθήκαν, τοὶ πολιανόμοι τοὶ ἀὲς ἐπὶ τῶ ϝέτεος ἐπικαταβαλίοντι καὶ ζαμιωσόντι, | ἄχρι ὦ κα ἀφομοιώσωντι κὰτ τὰν συνθήκαν. Οὐ κοψεῖ δὲ τῶν δενδρέων οὐδὲ θραυσεῖ οὐδὲ πριωσεῖ | οὐδὲ ἦς οὐδὲ ἒν οὐδὲ ἄλλος τήνῳ. Οὐδὲ γαιώνας θησεῖ πὰρ τὼς ὑπαρχόντας οὐδὲ σαρμευσεῖ, | αἰ μὴ ὅσσα κα ἐν αὐτᾷ τᾷ γᾷ ᾖ μεμισθώται οἰκοδομήται, οὐδὲ τοφιώνας ἐν τᾷ ἱαρᾷ γᾷ ποιησεῖ | οὐδὲ ἄλλον ἐασεῖ· αἰ δὲ μή, ὑπόλογος ἐσσήται ὡς τὰν ἱαρὰν γᾶν ἀδικίων. Οἰκοδομησήται δὲ καὶ οἰ|κίαν ἐν τοῖς χώροις τούτοις, βοῶνα, μυχόν, ἀχύριον· τὸν μὲν βοῶνα τὸ μὲν μᾶκος ϝίκατι καὶ δυῶν ποδῶν, τὸ δὲ εὖρος ὀκτὼ καὶ δέκα ποδῶν, τὸν δὲ ἀχύριον μὴ μεῖον τὸ μὲν μᾶκος ὀκτὼ καὶ δέκα ποδῶν, | τὸ δὲ εὖρος πέντε καὶ δέκα ποδῶν, τὸν δὲ μυχὸν πέντε καὶ δέκα ποδῶν παντᾷ. Ταῦτα δὲ παρεξόντι οἰκο|δο- sic μημένα καὶ στεγόμενα καὶ τεθυρωμένα ἐν τοῖς χρόνοις ἐν οἷς καὶ τὰ δένδρεα δεῖ πεφυτευκῆμεν· αἰ | δὲ μή, κατεδικάσθεν πὰρ μὲν τὸν βοῶνα ϝὲξ μνᾶς ἀργυρίω, πὰρ δὲ τὸν ἀχύριον τετόρας μνᾶς ἀργυρίω, | πὰρ δὲ τὸν μυχὸν τρῖς μνᾶς ἀργυρίω. Τῶν δὲ ξύλων τῶν ἐν τοῖς δρυμοῖς οὐδὲ τῶν ἐν τοῖς σκίροις οὐ πωλη||σόντι οὐδὲ κοψόντι οὐδὲ ἐμπρησόντι οὐδὲ ἄλλον ἐασόντι· αἰ δὲ μή, ὑπολόγοι ἐσσόνται κὰτ τὰς ῥήτρας | καὶ κὰτ τὰν συνθήκαν. Ἐς δὲ τὰ ἐποίκια χρησόνται ξύλοις ἐς τὰν οἰκοδομὰν οἷς κα δηλώνται καὶ ἐς τὰς | ἀμπέλως· τῶν δὲ ξηρῶν κοψόντι, ὅσσα αὐτοῖς πὸτ οἰκίαν ἐς χρείαν, τοῖς δὲ σκίροις καὶ τοῖς δρυμοῖς χρη|σόνται τοὶ μισθωσαμένοι ἂν τὰν αὐτῶ μερίδα ἕκαστος. Ὅσσαι δέ κα τᾶν ἀμπέλων ἢ τῶν δενδρέων ἀπο|γηράσωντι, ἀποκαταστασόντι τοὶ καρπιζομένοι, ὡς ἦμεν τὸν ἴσον ἀριθμὸν ἀεί. Οὐχ ὑπογραψόνται | δὲ τὼς χώρως τούτως οἱ μισθωσαμένοι οὐδὲ τίμαμα οἰσόντι οὔτε τῶν χώρων οὔτε τᾶς ἐπιοικοδο|μᾶς· αἰ δὲ μή, ὑπόλογος ἐσσήται κὰτ τὰς ῥήτρας. Αἰ δέ τίς κα τῶν καρπιζομένων ἄτεκνος ἄφωνος ἀπο|θάνει, τὰς πόλιος πᾶσαν τὰν ἐπικαρπίαν ἦμεν. Αἰ δέ χ' ὑπὸ πολέμω ἐγϝηληθίωντι, ὥστε μὴ ἐξῆμεν | τὼς μεμισθωμένως καρπευέσθαι, ἀνέωσθαι τὰν μίσθωσιν καθά κα τοὶ Ἡρακλεῖοι διαγνῶντι καὶ μὴ | ἦμεν ὑπολόγως μήτε αὐτὼς μήτε τὼς πρωγγύως τῶν ἐν τᾷ συνθήκᾳ γεγραμμένων. Τὼς δὲ πρωγγύ|ως τὼς ἀεὶ γενομένως πεπρωγγυευκῆμεν τῶν τε μισθωμάτων καὶ τῶν ἐπιζαμιωμάτων καὶ τῶν ἀμ|πωλη-

μάτων καὶ τᾶν καταδικᾶν καὶ αὐτὼς καὶ τὰ χρήματα, ἃ κα ἐπι-
μαρτυρήσωντι, καὶ μὴ ἦμεν μήτε ἄρ|νησιν μήτε παλινδικίαν,
μηδὲ κὰτ ἄλλον μηδὲ ἕνα τρόπον τᾷ πόλι πράγματα παρέχεν
μηδὲ τοῖς ὑπὲρ τᾶς πόλιος πρασσόντασσι· αἰ δὲ μή, ἀτελὲς
ἦμεν. — Δεύτερος. Ὁ δὲ τὸν δεύτερον (χῶρον) μισθωσάμενος |
καρπευσήται ἀπὸ τᾶς τριακονταπέδω τᾶς διὰ τῶν τετρώρων
160 ἀγώσας ἐπὶ τὸν ἄντομον τὸν πρᾶτον, ὅσσος κ' εἶ, καὶ πραξεῖ
πάντα κὰτ τὰν συνθήκαν καὶ ὑπόλογος ἐσσήται καὶ αὐτὸς καὶ
τοὶ πρωγγύοι, ὅτι κα | μὴ πράξει κὰτ τὰν συνθήκαν. — Τρίτος.
Ὁ δὲ τὸν τρίτον χῶρον μισθωσάμενος καρπευσήται ἀπὸ τῶ
ἀν|τόμω τῶ ἀνώτερον τᾶς τριακονταπέδω ποτ τὸν ἄντομον τὸν
δεύτερον ἀπὸ τᾶς τριακονταπέδω καὶ | πραξεῖ πάντα κὰτ τὰν
συνθήκαν καὶ ὑπόλογος ἐσσήται καὶ αὐτὸς καὶ τοὶ πρωγγύοι,
ὅτι κα μὴ πρά|ξει κὰτ τὰν συνθήκαν. — Τέταρτος. Ὁ δὲ τὸν
165 τέταρτον χῶρον μισθωσάμενος πάρ τε τῶν πολιανόμων τῶν
ἐπὶ Ἀριστίωνος ἐφόρω καὶ τῶν ὁριστᾶν καὶ πὰρ τῶν πολια-
νόμων τῶν ἐπὶ Ἀριστάρχω τῶ Ἡρα|κλείδα ἐφόρω, ἃ ἄνθεμα
Φιλωνύμω τῶ Φιλωνύμω, ἃ ἔμβολος Ἡρακλείδα τῶ Τιμο-
κράτιος, καρπευ|σήται ἀπὸ τῶ ἀντόμω τῶ τρίτω ἀπὸ τᾶς
τριακονταπέδω ἐπὶ τὸν ἄντομον τὸν ὁρίζοντα τώς τε τῶ Διο|-
νύσω χώρως καὶ τὰ Φιντίας ὁ Κρατίνω παμῶχεῖ. Ὁ δὲ
ἀνέλόμενος ἐργαξήται τὰ μὲν ἄλλα κὰτ τὰν | συνθήκαν, καθὼς
καὶ τὼς λοιπὼς γεγράπται· τὰς δὲ ἀμπέλως τὰς ὑπαρχώσας
170 ἐργαξήται ὡς βέλτι|στα· ὅσσαι δέ κα τᾶν ἀμπέλων ἀπογη-
ράσκωντι, ποτιφυτευσεῖ, ὥστε ἀεὶ ὑπάρχεν τὸν ἴσον ἀριθμὸν
τᾶν | σχοίνων τὸν νῦν ὑπάρχοντα, ϝίκατι τετόρας σχοίνως·
αἰ δὲ μή, προκαδδεδικάσθω δύο μνᾶς ἀργυρίω πὰρ τὰν σχοῖ-
νον ἑκάσταν. Τὰς δὲ ἐλαίας καὶ τὰς συκίας καὶ τὰ ἄλλα
δένδρεα τὰ ἥμερα τὰ ὑπάρχον|τα πάντα ἐν τᾷ μερίδι ταύτᾳ
περισκαφεῖ καὶ ποτισκαφεῖ καὶ περικοφεῖ τὰ δεόμενα, καὶ
αἴ τινά κα γήρᾳ ἢ | ἀνέμῳ ἐκπέτωντι, ἀποκαταστασεῖ μὴ
μείω τὸν ἀριθμὸν τῶν ὑπαρχόντων. Ποτιφυτευσεῖ δὲ καὶ
175 ἐλαίας | ἐν τᾷ ψιλᾷ ὁμολόγως ποίων τοῖς ὑπαρχόντασσι δεν-
δρέοις καὶ τὸν ἀριθμὸν τὸν ἴσον καθὼς καὶ ἐν τᾷ | ἄλλᾳ sic
συνθήκᾳ γεγράπται. Ὅτι δέ κα μὴ πράξει ὁ ἀνέλόμενος
κὰτ τὰν συνθήκαν ἢ μὴ ἐν τοῖς χρό|νοις τοῖς γεγραμμένοις,
ὑπόλογος ἐσσήται τοῖς πολιανόμοις καὶ τοῖς σιταγέρταις τοῖς
ἐπὶ τῶ ϝέτεος, | καθὼς καὶ ἐν τᾷ ἄλλᾳ συνθήκᾳ γεγράπται.
Αἱ δέ κα τοὶ πολιανόμοι τοὶ ἀεὶ ἐπὶ τῶν ϝετέων ἔντες μὴ

8. πολύτροποι = πολυτρόπους and στραγέρας.

10 ἔσσος – οἷ. no need to repeat the description

14. post 4 has been rendered before, after 'annum'. cf. 50. 51

17. alnus be δευτέρω . cf. 30. 31

18 ἀνειλόμενος = μυσσωσάμενος

19 and. ἐργάζεσθαι

11 iam nunc praedamnatus esto

Columella XI 2 omnes arbores fructiferae circumfossae aggeri de bout, ut ante solstitium hoc opus perfectum sit

4. -τηρίον (cattle station) became confused with -τήριον > -τηρίον > -τοιρίον > λωτήριον > λοετήριον > λοϋτρόν

1 Δάσιμος father's name omitted as Ἀριστέων 40.122 Mag. Knight τὸδοι ? Rather Bath in 40 (the mention of father's name = case of an often unusual. ? what ? Spartan custom ?

ἡ κοίλη in Attica, unlike Euboia

Cret. ἐμβεβήκη early 2504

χύης bo fuel brood Sk Hom. χύης small "superficies" no accent (κεφαλῆς) that which is used be thought as a sketch cf. δῶ bos² Hymn to Long (δόδης)

18. Ἑκατίδειος se δδός * ἄντομος -ιδ suffix : cf. δεκαδ ; -ειος suffix (καρύκειον δόειος). Εὐβοεύκεια -ιτεδος Grimaldo ao Ἑκατίτεδος. M. 438

πρά|ξωντι πάντα κὰτ τὰν συνθήκαν, αὐτοὶ ὑπολόγοι ἐσσόνται κὰτ τὰν συνθήκαν.

Ἐπὶ τούτοις ἐμισθώσαν|το· τὰν μὲν πράταν μίσθωσιν ἀπὸ τῶν τῶ Ἡρῴδα· με κιβώτιον Βορμίων Φιλώτα πεντήκοντα ἑπτὰ μεδί|μνων, κάδδιχος· πρώγγυος τῶ σώματος με κιβώτιον Ἀρκὰς Φιλώτα· τὰν δὲ δευτέραν μίσθωσιν α | ἔμβολος Δάμαρχος Φιλωνύμω τετρώκοντα μεδίμνων· πρώγγυος τῶ σώματος . . . . . Θεόδωρος Θε|οδώρω· τὰν δὲ τρίταν μίσθωσιν Ϝε γυῖον Πεισίας Λεοντίσκω τριάκοντα πέντε μεδίμνων· πρώγγυος | τῶ σώματος κν σφαιρωτῆρες Ἀριστόδαμος . . . . . · τὰν δὲ τετάρταν μίσθωσιν ἀλ λωτήριον || Φίλιππος Φιλίππω διακατίων ἑβδεμήκοντα ὀκτὼ μεδίμνων· πρώγγυος τῶ σώματος πε καρύκειον | Ἀπολλώνιος Ἡρακλήτω. |

Γραμματεὺς Ϝε γυῖον Ἀριστόδαμος Συμμάχω· γαμέτρας Χαιρέας Δάμωνος Νεαπολίτας.

II.

Ἔφορος Δάζιμος. Ἁ πόλις | καὶ τοὶ ὁρισταί· Ϝε τρίπους Φιλώ|νυμος Ζωπυρίσκω, πε καρύκειον | Ἀπολλώνιος Ἡρακλήτω, αἰ πέλ|τα Δάζιμος Πύρρω, Ἀθάνᾳ Πολιάδι. |

Ἀνεγράψαν τοὶ ὁρισταὶ τοὶ αἱρεθέντες ἐπὶ τὼς χώρως τὼς ἱα|ρὼς τὼς τᾶς Ἀθάνας τὼς ἐν Κοίλᾳ, Φιλώνυμος Ζωπυρίσκω, Ἀπολ|λώνιος Ἡρακλήτω, Δάζιμος Πύρρω, καθὰ ὡρίξαν καὶ συνεμε|τρήσαν καὶ ἐτερμάξαν καὶ ἐμερίξαν τῶν Ἡρακλείων διά|γνόντων ἐν καλλικλήτῳ ἀλίᾳ.

Συνεμετρήσαμες δὲ ἀρξαμένοι | ἀπὸ τῶ ἀντόμω τῶ ἀπὸ Καινᾶν ἄγοντος ἐπὶ τὰν ὁδὸν τὰν τρι|ακοντάπεδον τὰν ἐπὶ θάλασσαν ἄγωσαν, καὶ ἐγένοντο ἀπὸ | τῶ ἀντόμω ποτὶ τὰν βουβῆτιν τὰν διὰ τῶν γυᾶν ἐκ πόλιος ῥέω|σαν ἑπτὰ γύαι, ἀπὸ δὲ τᾶς βουβήτιος ἐπὶ τὰν τριακοντάπεδον || τρεῖς καὶ δέκα γύαι· ἀπὸ δὲ τᾶς τριακονταπέδω ἐπὶ τὰν τριακον|τάπεδον τὰν διὰ τῶν τριημιγύων ἄγωσαν, καὶ ἐγένοντο | ἐννέα τριήμιγυα. Διαβάντες δὲ τὰν τριακοντάπεδον ἐμε|τρίωμες ποτὶ τὸν Ϝικατίδειον καὶ ἀπεμετρήσαμες τὸ δέκα|τον τριήμιγυον. Τὰ δὲ τρίγυα οὐκ ἐξεποῖον, καθὼς τὸ ἀρχαῖον || εὑρίσκομες γεγενημένα, ἀλλὰ πενθημίγυον μόνον κα|τελείπετο ἐκ τῶν δυῶν τριγύων, τὰν δὲ λοιπὰν γᾶν Ϝιδίαν | τινὲς ἐπεποίηντο· ταύταν ἀποκατεστάσαμες τᾷ Ἀθάνᾳ | κὰτ τὰ ἀρχαῖα.

Ἀπὸ δὲ τῶ ϝικατιδείω τὰν ἐς ποταμὸν τὸν Ἄχιριν | γᾶν ποτιγενομέναν τὰν ἐμ μέσσῳ τᾶς τε ἑκατομπέδω | καὶ τᾶς Ἡρακλείας ὁδῶ, καὶ ταύταν πᾶσαν ϝιδίαν ἐπεποίηντό | τινες· καὶ τοὶ μὲν ἐριξάντες ἀπέσταν, τοῖς δὲ ἐδικαξάμεθα δίκας τριακοσταίας. Καὶ ἀποκαταστασάντες τᾷ θεῷ κὰτ τὰ ἀρχαῖα ταύ|ταν τὰν γᾶν κατεδασσάμεθα καὶ ὄρως ἐπάξαμες ἐφ' ἑκάστας τᾶς | μερίδος. Καὶ ἐποιήσαμες πὰρ τὸ τριήμίγυον τὸ δέκατον πρᾶτον τρί|γυον, ποτθέντες πὸτ τὸ πενθημίγυον ἀφ' ἃς κατεσῴξαμες γᾶς, ὥσ|τ' ἦμεν ἔκπλεον εὖρος τρίγυον, μᾶκος ἀπὸ τᾶς ἑκατομπέδω ἄχρι πὸτ | τὰν Ἡρακλε(ί)αν ὁδὸν ἂν τὼς ὄρως, καὶ ἐγένοντο σχοῖνοι ἑκατὸν τρι|άκοντα ὀκτώ, ὀρέγματα ὀκτώ, ψιλᾶς μὲν ἑκατὸν τριάκοντα τρῖς, ὀρέγματα ϝίκατι | ϝέξ, ποῦς, ἀμπέλων δὲ τετόρες σχοῖνοι, ὀρέγματα δέκα ἕν, πόδες ‖ τρῖς· αὗτα ἁ γᾶ ἐμισθώθη τὰν πράταν πενταέτηρίδα διακοσίων | ϝεξήκοντα ἐννέα μεδίμνων, χοός, δυῶν χοινίκων. Ἀπὸ δὲ τούτω* | τῶ τριγύω ἐμετρήσαμες πὸτ τὸ(ν) ϝικατίδειον δεύτερον τρίγυον εὖ|ρος ἂν τὼς ὄρως, μᾶκος ἀπὸ τᾶς ἑκατομπέδω ποτὶ τὰν Ἡρακλείαν | ὁδόν, καὶ ἐγένοντο σχοῖνοι ἑκατὸν τριάκοντα ἐννέα, ψιλᾶς μὲν ἑ|κατὸν ϝίκατι τρῖς σχοῖνοι, ἀμπέλων δὲ δέκα ϝὲξ σχοῖνοι· τοῦτο τὸ τρί|γυον ἐμισθώθη ϝεξακατίων ἐνενήκοντα πέντε μεδίμνων.|

Διαβάντες δὲ τὸν ϝικατίδειον ἐποιήσαμες πράταν μερίδα πὰρ ἑκ[α]τόνπεδον, ἐν ᾇ ἁ ἀμπελωργικά, καὶ ἐτάμομες κοινὰν πόθοδον ἐκ τῶ | ϝικατιδείω πὸτ τὰν οἰκίαν ϝικατίπεδον καὶ ἀπὸ τᾶς οἰκίας πὰρ τὰς ἀμ|πέλως ἄχρι ἐς ποταμὸν ὀκτάπεδον. Καὶ ἐμετρίωμες ἀπὸ τῶ ϝικατιδείω | τὸ πὸτ Ἄχιριν ἐπὶ τὰν διαστολὰν τὰν πλαγίαν τὰν ἀπὸ τᾶς ποθόδω τᾶς κοι|νᾶς ἀγώσας ἐς τὰν ἑκατόνπεδον, καὶ ἐγένοντο πεντήκοντα ἐννέα σχοί|νοι ἡμίσχοινον, ψιλᾶς μὲν πεντήκοντα μία, ὀρέγματα ἑπτά, ἀμπέλων δ[ὲ] | ὀκτὼ σχοῖνοι, ὀρέγματα ὀκτώ· αὗτα ἐμισθώθη τετρακατίων τεσσαρά[κον]|τα ϝὲξ μεδίμνων, καδδίχων τεσσάρων. Δευτέρα μερίς, ἐν ᾇ ἁ οἰκία [ἐ]‖στί, μᾶκος ἀπὸ τῶ ϝικατιδείω ἐπὶ τὰν τράφον τὰν πὰρ ποταμόν, εὖρος ἀπὸ τῶν ὄ|ρων καὶ τᾶς ποθόδω τᾶς ὀκταπέδω τᾶς ἐς ποταμὸν ἀγώσας ἐπὶ τὼς ὄρως, | καὶ ἐγένοντο ϝεξήκοντα τρεῖς σχοῖνοι, ὀρέγματα δέκα δύο· ταύτᾳ τᾷ μερίδ[ι] | ποτεδασσάμεθα ἀμπέλων τὰν πράταν διαστολὰν τὰν πὰρ τὰν ἑκατόνπε|δον ὀκτὼ σχοίνως, ὀρέγματα ϝεἰκατι ϝέξ, πόδας δύο, καὶ ἐγένετο ἁ πᾶσα μερὶς | ἑβδεμήκοντα δύο σχοῖνοι,

8. καταδατέομαι divide among · cf προσδ. ii 54

1 ὄρευμα 4 or 5 feet. The land sacred to Athena is called φιλὰ ἄρουρα

χοῦς 5.76 pints = 12 κοτύλαι (liquid measure) χοῖνιξ 1.92 pints
= 4 κοτύλαι (dry.) In both liq. & dry κοτύλη = .48 pint Here χοῦς
of dry measure

ὀρέγματα ὀκτώ, πόδες δύο· αὗτα ἐμισθώθη ϝεξα|κατίων τριάκοντα δυῶν μεδίμνων, χοός. Τρίτα μερὶς μᾶκος ἀπὸ τῶ ϝεικατι|δείω ἐπὶ τὰν τράφον τὰν πὰρ ποταμόν, εὖρος ἀπὸ τῶν ὄρων τῶν τᾶς δευτέρας | μερίδος ἐπὶ τὼς ὄρως, καὶ ἐγένοντο ψιλᾶς μὲν ϝεξήκοντα ϝὲξ σχοίνοι ἡμίσχοι|νον· ταύτᾳ τᾷ μερίδι ποτεδασσάμεθα ἀμπέλων τὰν δευτέραν διαστολὰν ἀφ' εκα|τονπέδω ἑπτὰ σχοίνως, ὀρέγματα δέκα ἑπτά, καὶ ἐγένετο ἁ πᾶσα μερὶς ἑβδε|μήκοντα τετόρες σχοίνοι ὀρέγματα δύο· αὗτα ἐμισθώθη ϝεξακατίων τριάκοντα | μεδίμνων, δυῶν καδδίχων, χοινίκων δυῶν. Τετάρτα μερὶς μᾶκος ἀπὸ τῶ ϝι|κατιδείω ἐπὶ τὰν τράφον τὰν πὰρ ποταμόν, εὖρος ἀπὸ τῶν ὄρων τῶν τᾶς τρί|τας μερίδος ἐπὶ τὼς ὄρως καὶ ἐπὶ τὸν ἄντομον τὸν διατάμνοντα τὼς χώρως, τὸν | ἐτάμομες ἐκ τῶ ϝικατιδείω ἐς ποταμὸν κοινὸν πᾶσι χρήσθαι τοῖς τὼς ἱαρὼς χώ|ρως μεμισθωμένοις, καὶ ἐγένοντο ψιλᾶς μὲν ϝεξήκοντα ὀκτὼ σχοίνοι, ὀρέγμα|τα δέκα τρία· ταύτᾳ τᾷ μερίδι ποτεδασσάμεθα ἀμπέλων τὰν τρίταν διαστολὰν | ἀφ' εκατομπέδω τὰν ποτικλαίγωσαν πὸτ τὰν πόθοδον τὰν ὀκτάπεδον δέκα πέντε‖ σχοίνως, ὀρέγματα ἑπτά· ἐγένετο ἁ πᾶσα μερὶς ὀγδοήκοντα τρεῖς σχοίνοι, ὀρέγμα|τα ϝεικατι· αὗτα ἐμισθώθη ϝεξακατίων τριάκοντα μεδίμνων.

Ἀπὸ δὲ τὼ | ἀντόμω τῶ διατάμνοντος τὼς χώρως τῶ ἐς ποταμὸν ἄγοντος τῶ ϝι|κατιπέδω ἐμετρίωμες μᾶκος μὲν ἐπὶ τὰν Ἡρακλείαν, εὖρος δὲ ἀπὸ | τῶ ϝικατιδείω ἐπὶ τὼς ὄρως τὼς πράτως, καὶ κατελίπομες ‖ πόθοδον ἐκ τῶ ϝεικατιδείω ποτὶ τὰν οἰκίαν ϝεικατίπεδον, καὶ ἐγένετο | ἁ μερὶς αὗτα ψιλᾶς ϝεξήκοντα δύο σχοίνοι· ταύτᾳ τᾷ μερίδι ποτεδασ|σάμεθα ἀμπέλων τὰν πράταν στάσιν τὰν πὸτ τὸν ϝικατίδειον ϝὲξ σχοί|νως ἡμίσχοινον, καὶ ἐγένετο ἁ πᾶσα μερὶς ϝεξήκοντα ὀκτὼ σχοίνοι ἡμί|σχοινον· αὗτα ἐμισθώθη ὀκτακατίων πεντήκοντα ϝὲξ μεδίμνων, καδδί|χων τετόρων. Δευτέρα μερὶς ἀπὸ τῶ ϝικατιδείω, ἐν ᾇ ἁ οἰκία ἐστί, | ἀπὸ τῶ ἀντόμω τῶ ἐς ποταμὸν ἄγοντος μᾶκος ἐπὶ τὰν Ἡρακλείαν, εὖ|ρος ἀπὸ τῶν ὄρων ἐπὶ τὼς ὄρως, καὶ ἐγένετο ψιλᾶς πεντήκοντα ἐννέα | σχοίνοι ἡμίσχοινον· ταύτᾳ τᾷ μερίδι ποτεδασσάμεθα ἀμπέλων | τὰν δευτέραν στάσιν ἀπὸ ϝικατιδείω ϝὲξ σχοίνως ἡμίσχοινον, καὶ ἐ|γένετο ἁ πᾶσα μερὶς ϝεξήκοντα ϝὲξ σχοίνοι· αὗτα ἐμισθώθη τετρα|κατίων πεντήκοντα ὀκτὼ μεδίμνων, καδδίχων δέκα τετόρων, δυ|ῶν χοινίκων.

Τρίτα μερὶς ἀπὸ τῶ ϝικατιδείω πὸτ τὰς ἀμπέλως, ἀπὸ τῶ | ἀντόμω τῶ ἐς ποταμὸν ἄγοντος μᾶκος ἐπὶ τὰν Ἡρακλείαν, εὖρος ἀ|πὸ τῶν ὄρων ἐπὶ τὼς ὄρως, καὶ ἐγένετο ψιλᾶς ϝεξήκοντα τρῖς σχοίνοι ἡ|μίσχοινον· ταύτᾳ τᾷ μερίδι ποτε-δασσάμεθα ἀμπέλων τὰν τρίταν | στάσιν ἀπὸ ϝικατιδείω ϝὲξ σχοίνως ἡμίσχοινον, καὶ ἐγένετο ἁ πᾶσα με|ρὶς ἑβδεμήκοντα σχοίνοι· αὗτα ἐμισθώθη τριακατίων ϝὲξ μεδίμνων, καδ|δίχων τετόρων. Τετάρτα μερὶς ἀπὸ ϝικατιδείω μᾶκος μὲν ἀπὸ τῶ ἀντόμω | τῶ ἐς ποταμὸν ἄγοντος ποτὶ τὰν πόθοδον τὰν πὰρ τὰς ἀμπέλως ἄγωσαν, | εὖρος ἀπὸ τῶν ὄρων ἐπὶ τὼς ὄρως, καὶ ἐγένετο ψιλᾶς τετρώκοντα ὀκτὼ | σχοίνοι· ταύτᾳ τᾷ μερίδι ποτεδασσάμεθα ἀμπέλων τὰν τετάρταν στά-σιν ἀπὸ ϝικατιδείω ϝὲξ σχοίνως ἡμίσχοινον, καὶ ἐγένετο ἁ πᾶσα μερὶς πεν|τήκοντα τετόρες σχοίνοι ἡμίσχοινον· αὗτα ἐμισθώθη διακατίων τριάκον|τα πέντε μεδίμνων, καδδίχων δέκα πέντε. Πέμπτα μερὶς ἀπὸ ϝικατι|δείω μᾶκος ἀπὸ τῶ ἀντόμω τῶ ἐς ποταμὸν ἄγοντος ποτὶ τὰν πόθοδον τὰν | πὰρ τὰς ἀμπέλως ἄγωσαν, εὖρος ἀπὸ τῶν ὄρων ἐπὶ τὰν νᾶσον, καὶ ἐγέ|νετο ψιλᾶς ϝεξήκοντα τετόρες σχοίνοι· ταύτᾳ τᾷ μερίδι ποτεδασ|σάμεθα ἀμπέλων τὰν πέμπταν στάσιν ἀπὸ ϝικατιδείω ἑπτὰ σχοί|νως, ὀρέγματα δέκα ἑπτά, πόδας δύο, καὶ ἐγένετο ἁ πᾶσα μερὶς ἑβδε|μήκοντα μία σχοίνοι, ὀρέγ-ματα ἑπτά, πόδες δύο· αὗτα ἐμισθώθη πεντα|κατίων ὀγδοή-κοντα μεδίμνων, καδδίχων δέκα πέντε. ϝέκτα μερὶς | τὸ ἔγγωνον τὸ πὰρ τὰς ἀμπέλως τὸ ποτικλαῖγον πὸτ τὰν Ἡρα-κλείαν κα[ὶ] | πὸτ τὸν ποταμόν, καὶ ἐγένετο ψιλᾶς τριάκοντα σχοίνοι· ταύτᾳ (τᾷ) μερίδι πο|τεδα[σ]σάμεθα ἀμπέλων ὀκτὼ σχοίνως ἡμίσχοινον τὰς ἐχομένας τῶ || χωρί[ω τούτω, καὶ ἐγένε]το [ἁ] πᾶσα μερὶς τριάκοντα ὀκτὼ σχοίνοι ἡμίσχοινο[ν· | αὗτα ἐμισθώθη.....ἐ]νὸς με[δίμνων].....

(Cetera desunt.)

Tabulas Heracleenses post alios edidit Franz CIG. 5774. 5775. Repetiit in dissertatione »de dialecto Heracliensium Italicorum« Meister Stud. IV (1871) p. 449 sqq. — Literatura est Ionica, sed eo a volgari differt, quod Ⅎ digammi et ⊢ spiritus asperi notas strenue servavit. Tabulas, quarum altera alteram nonnullis annis superat, inscriptas esse exeunte seculo quarto quamquam non certum tamen verisimile est; cf. Franz l. l. (CIG.

διακριτικὰ σύμβολα on coins of magistrates, e.g. tripod, flower

III) p. 705, Meister p. 360. 448. Continent rationes a magistratibus Heracleensium, qui ὁρισταὶ appellabantur, relatas de agris et hortis sacris Bacchi et Minervae. Quorum agrorum hortorumque cum fines bello turbati essent, »finitoribus« officium delatum est, ut novos terminos ponerent, de elocandis agris hortisque certas leges constituerent, secundum has leges ipsi eos elocarent. Hoc munere quomodo perfuncti essent, in his tabulis exposuerunt. — Notanda sunt vocabula nominibus propriis praeposita: ἄνθεμα vel ἄνθεμον, βότρυς, γυῖον, ἔμβολος, ἐπιστύλιον, θρῖναξ, καρύκειον, κιβώτιον, λωτήριον, πέλτα, σφαιρωτῆρες, τρίπους, quae significant insignia nobilium familiarum; sigla autem duabus literis composita, quae haec vocabula antecedunt, $\overline{\alpha}$, $\overline{\alpha\iota}$, $\overline{\grave{\alpha}\lambda}$, $\overline{\grave{\alpha}\sigma}$, $\overline{\digamma\varepsilon}$, $\overline{\varkappa\nu}$, $\overline{\mu\varepsilon}$, $\overline{\pi\varepsilon}$, notare videntur nomina gentium, in quibus illae familiae fuerunt.

40, 10 **Ξ·ΞΑΝ**. — 11 **ΔΙΑΚΝΟΝΤΩΝ**. — ἀλίᾳ: alioquin est ἁλία, cf. Ahrens Dial. II 37. — 36 χιλίαι, 37 δισχιλίαι: Ahrens Dial. II 160 postulabat Doricum χηλίαι (cf. Lacon. n. 11); sed χιλίοι ex sermone volgari in dialectum Heracleensium irrepsit, ut τετρακοσίαι 40, 40; cf. Meister p. 386. — 44 Φιντία; Dorice pro Φιλτία, cf. Meister p. 410 sq. — 50 ποϊόντασσιν: eadem est in his tabulis forma omnium dat. plur. participiorum (sed πᾶσι 41, 66), quam formam explicare conatus est J. Schmidt, Zeitschr. vgl. Sprachf. 25 (1881) p. 590 sq. — 59 **ΤΑΝ** literae deletae. — 65 ἀκροσκιρίαις: cf. καθ' ἄκρον in fragmento Corcyraeo, C. Wachsmuth, Rh. Mus. 18 (1863) p. 359. — 90 **Ι** litera deleta. — 101 καὶ (αἴ) κ': crasin in tabulis Heracleensibus nusquam admissam esse monuit Meister p. 395. — 102 ἀποδίνωντι: de δίνω simplici verbo cf. Ahrens Dial. II 339. — 104 φέρει: eadem terminatio coniunctivi frequens in his tabulis; cf. Blass Ausspr. p. 40 sq. — 121 γεγραψάται: noli corruptum putare; cf. Ahrens Dial. II 333. — 127 ἐπελάσθω: contractum ex ἐπελαόσθω, cf. Ahrens Dial. II 196, Curtius Verb. II^2 66. — 152 ἐγϝηληθίωντι: i. e. ἐξειληθῶσι, cf. Ahrens Dial. II 160, qui affert Hesychii glossam βήλημα· κώλυμα — Λάκωνες; idem verbum cum ἀπό compositum exstat in titulis Eleis IGA. 113*b*. 117. 118. — 153 ἀνεώσθαι: i. e. ἀνεῖσθαι, cf. Ahrens Dial. II 344. — 166 Τιμοκράτιος: cf. n. 196. — 167 τῶ ἀντόμω τῶ τρίτω: debebat scribere τῶ δευτέρω, cf. v. 30. 31.

41, 22 **ΑΓΕΚΑΤΕΣΤΑΣΑΜΕΣ**. — 36 fin. **ΤΩ** literae

deletae. — 42 fin. Γ]ι. — 46 τὸ πὸτ Ἄκιριν: τῶ scripserunt Franz, Meister; sed cf. 23. 72. 74.

---

42 [= 10] Lapis repertus Heracleae in Magna Graecia.

ʿΙστιαία πρὸ | αὐταύτας κ|αὶ τᾶς
Ἀφροδ|ιτίας Δορκὰς | ἀνέθηκε.

CIG. 5776 *add.* Spiritus asperi nota est ⊢ ut in n. 40. 41. Franz monet ʿΙστίαιαν esse ʿΕστίαν.

II. Tituli Messenii.

43 Stela parva Messenae reperta.

Ἐπὶ ἰαρέος Τ|ιμάρχω ἀφί|ητι
Φιλωνίδ[ας τὸν δεῖνα].

Foucart apud Le Bas, Voy. arch. II n. 309 et Explic. p. 154.

---

44 Pila reperta Messenae prope theatrum; nunc in museo.

. . . . . .
ν συμμάχων εντ. . . . . .
. . . . . τοι καὶ τω . . . . . .
. . . . . τριάκοντα . . . . . .
. . αὐ]τοῖς καὶ ἐγγόνοις . . . . . .
. ἔμπ]ασιν καὶ πολέμω . . . . . .
. . . . . οισ. δωμεσ . . . . . .
. . . . . βολο. ησαντοι . . . . . .
. . . . . π]ροξενο. . . . . .
| Θρασυβούλῳ ‖ Αἰγύπτω, | Φ. . . . ωνι |
Ἀ[ν]δ[ρο]νίκω, | Ἀλεξάν[ο]ρι | Λ. . . . . κω, ‖
Ἀντ[ιπ]άτρῳ | Ἀριστοκράτεο[ς], | Κορύμ-
βῳ | Σιδάνω, | Πίργει ‖ ʿΙερωνύμω, |
Ἐχεφυλίδᾳ | Πανταλέοντος, | Ὀλυμπιο-
δώρῳ | Καλλίππω, ‖ Κακοσθένει | Ἀλεξ-
ίππω, | Ἀρχιλόχῳ | Ἀλεξάνορο[ς], | [ʿΙπ-
πο]θόων[ι] ‖ Δειο[κλέος?]. . . .

Pelliger. Messenien u. der achäische Bund. Tittau. 1897.

1 διάλυτης τῆς ἑταιρείας Thuc. III 82

Jules Martha, Bull. Corr. Hell. V (1881) p. 151 sq. n. 3. Aetatem putat esse initium seculi 3. — Messenii sociis quibusdam propter virtutem in bello exhibitam proxeniam donant.

29 [Ἱππο]θόων[ι]: cf. Ἱπποθῶν in vase Agrigentino CIG. 7434 *b*. — 30 Δειο[χλέος?]: cf. Δειοχλῆ in titulo Erythraeo aetatis Romanae CIG. 3135.

---

45 [= 12] Tabula Phigaliae reperta.

[Ἐπειδὴ παραγενόμενο]ι πρεσβε[υ]ταὶ καὶ διαλυ-
[ταὶ παρὰ τῶν Αἰτω]λῶν Τίμαιος Κλεόπατρο-
[ς, ἔχοντες τὸ ψάφισ]μα τὸ παρὰ τῶν Αἰτωλῶν, ἀπ-
[οδόντες τὸ ψάφισμα] διελέγοντο ὅμοια τοῖς ἐν τ-
[ῷ ψαφίσματι ἀξ]ιῶντες διαλυθῆμεν ποτὶ τὼ-
[ς Φιαλέας, συνπ]αρόντες δὲ καὶ τῶν ἐ Φιαλείας
[πρεσβευτᾶν] ..... Θαρυκίδας, Ὑνόμανδρος, Ἀμφίμα-
[χος] ..... λας, Ὑρθολαΐδας, Κραταιμένης, Τι-
....., [Δ]αμάρετος τὰ αὐτὰ ἠξίων, ἔδοξε τᾷ
[πόλι τῶν Μ]εσ(σ)ανίων· ἦμεν τοῖς Μεσσανίοις κα-
[ὶ τοῖς Φια]λέοις ἰσοπολιτείαν καὶ ἐπιγαμία-
[ν ποτ' ἀλλ]άλως· ποιήσασθαι δὲ καὶ συμβολὰν ἃ-
[ν κα δοκεῖ] ἀνφοτέραις ταῖς πολέοις, τὰν δὲ χ-
[ώραν καρπ]ίζεσσθαι ἑκατέρως τώς τε Μεσ(σ)ανίω-
[ς καὶ τὼς Φι]αλέας, καθὼς καὶ νῦν καρπιζόμεθα.
[Ὁπόσα δέ κ]α ὁμολογήσωμεν ποτ' ἀλλάλως, ὁμό-
[σαι ἀνφοτέρ]ως καὶ στάλας καταθέσθαι ἐν τοῖς
[ἱεροῖς, ὅπᾳ κ]α δοκεῖ ἀνφοτέραις ταῖς πολέο-
[ις. Εἰ δέ κα μὴ ἐμ]μένωντι οἱ Φιαλέες ἐν τᾷ φιλ-
[ίᾳ ποτὶ τὼς Με]σσανίως καὶ Αἰτωλώς, ἄκυρος ἔ-
[στω αὕτα ἁ ὁμολο]γία. Ἔδοξε δὲ καὶ τοῖς Φιαλέ[ο]-
[ις τὰ αὐτὰ ἅπερ ο]ἱ Μεσσάνιοι ἐψαφίξαντ[ο. — Ὅρκ]-
[ος Μεσσανίων· ὀμ]νύω Δία Ἰθωμάταν, Ἥρα[ν]
..... ον καὶ θεὼς ὁρκ[ίως πάντας]·
[ἦ μὰν ἐμμενεῖν] ἐν τᾷ φιλία[ι] .....
..... [Φι]αλέας τ .....
..... μεν .....

Foucart apud Le Bas Voy. arch. II n. 328 *a* (Explic. p. 177). — Foedus inter Messenios et Phigalenses, quod hoc titulo contine-

tur, factum esse putandum est exeunte seculo a. Chr. 3, sed non intra aa. 220—213; nam his annis Messenii inter adversarios foederis Aetolici erant (cf. supra v. 20 et Polyb. IV 16. VIII 14). Dialecto Messeniae nonnulla ex Aetolica admixta sunt (Φιαλέοις 11, πολέοις 18).

---

46 Thuriae.

Ἱερεὺς τᾶς Ἀθάνας Νίκων Νικοστρά[του], | γυμνασίαρχος Σῖμος Σωσάνδρου, ὑπο[γυ]μνασίαρχος Ξενοκλῆς Δαμοκράτεος. |
Ἔφηβοι· ‖ Χαρησίδαμος Δαμοτέλεος, | Φιλόξενος Ἀγαθαμέρου, | Ἱπποκράτης Ἵππωνος, | Δαμοκράτης Χαιρήμονος, |
Σόλων Νικωνύμου, ‖ Ἀρίστων Καλλισθένεος, | Δεινίας Δαμοσθένεος, | Δείνων Στράτιος, | Ἀριστιππος Δαμοθέρσεος, |
Ἀριστόμαχος Θεοφίλου, ‖ Νεόδαμος Μνασιμαχίδα, | Νίκων Δάμωνος, | Ξένων Σωσινίκου, | Κάλλιππος Ἀριστονίκου, |
Δαμοκράτης Δαμίωνος, ‖ Ξένων Πασίωνος, | Εὐτυχίδας Νικαρέτου, | Ἀριστείδας Κρατιππίδα, | Σώστρατος Φιλοξένου.

Le Bas, Voy. arch. II n. 304 (= Explic. p. 149).

---

47 [= 13] Constantinis prope veterem Andaniam in ecclesia.

[Περὶ ἱε]ρῶν καὶ ἱερᾶν. Ὁ γραμματεὺς τῶν συνέδρων τοὺς γενηθέντας ἱεροὺς ὁρκιξάτω παραχρῆμα, ἂμ μή τις ἀρρω-σ[τεῖ, | ἱερῶ]ν καιομένων αἷμα καὶ οἶνον σπένδοντας, τὸν ὅρκον τὸν ὑπογεγραμμένον· ὀμνύω τοὺς θεούς, οἷς τὰ μυστήρια ἐπιτε[λε]ῖται, ἐπιμέλειαν ἕξειν, ὅπως γίνηται τὰ κατὰ τὰν τελετὰν θεοπρεπῶς καὶ ἀπὸ παντὸς τοῦ δικαίου, καὶ μήτε αὐ[τ]ὸς μηθὲν ἄσχημον μηδὲ ἄδικον ποιήσειν ἐπὶ καταλύσει τῶν μυστηρίων μηδὲ ἄλλῳ ἐπιτρέψειν, ἀλλὰ κατακολουθήσειν τοῖς γεγραμμένοις, ἐξορκίσειν δὲ καὶ τὰς ἱερὰς καὶ τὸν ἱερῆ κατὰ τὸ διάγραμμα· εὐορκοῦντι μέν μοι εἴη ἃ τοῖς εὐ[σεβέοις, ἐφιορκοῦντι δὲ τἀναντία. Ἂν δέ τις μὴ θέλει ὀμνύειν, ζαμιούτω δραχμαῖς χιλίαις καὶ ἄλλον ἀντὶ τούτου κλαρωσά[τω ἐκ τὰς αὐτὰς φυλὰς. Τὰς δὲ ἱερὰς ὁρκιζέτω ὁ ἱερεὺς καὶ οἱ ἱεροὶ ἐν τῷ ἱερῷ τοῦ Καρνείου τᾷ πρότερον ἁμέρᾳ τῶν μυστη[ρίων τὸν αὐτὸν ὅρκον, καὶ ποτεξορκιζόντω· πεποίημαι δὲ καὶ ποτὶ τὶν ἄνδρα τὰν συμβίωσιν

1. σύνεδροι = senators

2 ταμφέτων Ath XIII 201 Tango aras mediosque ignis et numina testor ; C.I.G. 3137 $_{41}$ ὄρκιόσ τωνδ' αὐτοὺς οἱ ἐξεταστὰὶ ἐπὶ τοῦ Μητρῴου ἱερεῖς τὸ καθ' ἑαυτῶν. Oath made ignibus tactis Justinus 22.2

2 οἷς: Demeter. Hagna(. Proserpina) Hermes, ἱμεναῖος, Carneas Apollo. In the oldest times (before Dorian migration) the mysteries here were in honour of Ceres and Proserpina. After Mercury was also admitted for several generations Castores after Sandon : In' time = Paus. (4.33.5)

1 ἀπὸ τοῦ ἴσου ἀπὸ τῆς ἴσης Thuc. I 15. III 10 \ cancel feature transference from Andania, ἱμεναῖος Carneas Apollo

6. ἐξορκίζω later form of -ow administer an oath Cretan 2554 $_{37,36}$
ἐγραψεῖν τοὺς ἐπιστάτας ἐν τοῖς διοικηταῖς, ὀμόσαι πάντας ἀπὸ μιᾶς ἐξορκοῦντι μέχρι μοῖρ εἰς ἑκάστην καὶ ἀγέλας, εἰ δὲ μὴ ἐξαγαγεῖν II add. 496. 24
b. ἐφιορκεῖται (impf.) C.I.G. 1688 ἐξιορκήσαντες ψευσόμενοι ἔφιορκος C.D.I 2072 $_{19}$ ἐφιορκοίην Paroem. I. 13 $_{30}$ ἐφιορκοῦντι Alcaeus 134 mixture of ἐπίορκος and ἔφορκος. Meyer 327

7. Old Dorian tribes Hyllaeis, Dymanes, Pamphyloi. In Cnossian where other elements besides Dorian there were other tribes In Rhenia Daipolieis and Aristomachis R. M. 14 528

8. This form shows that the ἱεραί of 5 are married women

γεγηρέναι. they had already been after him but had not yet taken the wall. Hence the meaning state the time for "oath"

10. 53th year after Achaia reduced to a province (146 B.C.) Many dates followed by chronology Rome 91 B.C. Forum. The 11th month Alle. Metageitnion, so Mycalessus celebrates in August. Numerals circled of course written Hokin. Roman Calendar

11. After Lucchā Epitelos leader Argives warned by a dream dedicate bronze urn which were then preserved in sacred building. On these the orders were inscribed (Paus. IX. 26.7) The urn preserved at Karnasion (IX. 33.5).

The context. Urn as safe keeping suits B. Attic Capeus the usual place to put books. Cf. the reading γράμματα as "mysteries of Pheneos (Paus. VIII. 15.2). So perhaps Isis brought Libri and "sanctuary" order to new the relics (Apul. Metam. XI 17)

13. στέφανος almost = ταινία.

14. στλεγγίς · δέρμα κεχρυσωμένον Pollux 7.179 a tiara overlaid "metal. L. S

15. Ἰὼν ἑμάτιον unlike εἶ- εαγ. dd. 181. εἶμι - Κεως Hdt. A. 395.2. Κύκνου Mus. Ti 22 = explain the words. Ann. Soc. Class. A.E. 113.

16. στεφανωσάμενος καὶ λευκὴν ἐσθῆτα λαβὼν εἰσουδύσει. (Arch. III 71. the colored garment worn at the Panathenaia

17. Καλάσιρις costly χιτών introduced from Egypt. Cannot have been so very costly. I think both K. and σ. both linen, but diff. as to decoration

20. ὑποδύτης Ἑλληνικῶς, χιτωνίσκος, χιτὼν Ἀττικῶς Phrynich

12. rouge made from sea-weed (fucus)

4. Cobet ! σινδών = ἱμάτιον εἶδος dress in general Pollux 7.78. Mnesych

Διάθεσις to represent goddess. Hesych ἀγάλμα. cf. Dem. v. Magna. Cf. Eleusis sc 5. Diff. name general idea but = habitus. Diosk. ὥστε διακεῖσθαι ὡς θεαί

16. λυμαίνεσθαι take by force and then "treat" "indignity" the woman" question.

ὁσίως καὶ δικαίως. Τὰν δὲ μ[ὴ] | θέλουσαν ὀμνύειν ζαμιούντω οἱ ἱεροὶ δραχμαῖς χιλίαις καὶ μὴ ἐπιτρεπόντω ἐπιτελεῖν τὰ κατὰ τὰς θυσίας μηδὲ μετ[έ]χειν τῶν μυστηρίων, αἱ δὲ ὀμόσασαι ἐπιτελούντω. Οἱ δὲ γεγενημένοι ἱεροὶ καὶ ἱεραὶ ἐν τῷ πέμπτῳ καὶ πεντηκοστῷ | ἔτει ὀμοσάντω τὸν αὐτὸν ὅρκον ἐν τῷ ἑνδεκάτῳ μηνί, πρὸ τῶν μυστηρίων.

Παραδόσιος. Τὰν δὲ κάμπτραν καὶ τὰ | βιβλία, ἃ δέδωκε Μνασίστρατος, παραδιδόντω οἱ ἱεροὶ τοῖς ἐπικαταστα-θέντοις, παραδιδόντω δὲ καὶ τὰ λοιπά, ὅσα ἂν κατασκευασθεῖ χάριν τῶν μυστηρίων.

Στεφάνων. Στεφάνους δὲ ἐχόντω οἱ μὲν ἱεροὶ καὶ αἱ ἱεραὶ πῖλον λευκόν, | τῶν δὲ τελουμένων οἱ πρωτομύσται στλεγγίδα· ὅταν δὲ οἱ ἱεροὶ παραγγείλωντι, τὰμ μὲν στλεγγίδα ἀποθέσθωσαν, | στεφανούσθωσαν δὲ πάντες δάφνᾳ. — Εἱματισμοῦ. Οἱ τελούμενοι τὰ μυστήρια ἀνυπόδετοι ἔστωσαν καὶ ἐχόντω τὸν | εἱματισμὸν λευκόν, αἱ δὲ γυναῖκες μὴ διαφανῆ μηδὲ τὰ σαμεῖα ἐν τοῖς εἱματίοις πλατύτερα ἡμιδακτυλίου, καὶ αἱ | μὲν ἰδιώτιες ἐχόντω χιτῶνα λίνεον καὶ εἱμάτιον μὴ πλείονος ἄξια δραχμᾶν ἑκατόν, αἱ δὲ παῖδες καλάσηριν ἢ σινδονίταν καὶ εἱμάτιον μὴ πλείονος ἄξια μνᾶς, αἱ δὲ δοῦλαι καλάσηριν ἢ σινδονίταν καὶ εἱμάτιον μὴ πλείονος ἄξια δρα|χμᾶν πεντήκοντα, αἱ δὲ ἱεραί, αἱ μὲν γυναῖκες καλάσηριν ἢ ὑπόδυμα μὴ ἔχον σκιὰς καὶ εἱμάτιον μὴ πλέονος ἄξια δύο | μνᾶν, αἱ δὲ [παῖδε]ς καλάσηριν καὶ εἱμάτιον μὴ πλείονος ἄξια δραχμᾶν ἑκατόν. Ἐν δὲ τᾷ πομπᾷ αἱ μὲν ἱεραὶ γυναῖκες ὑποδύ|ταν καὶ εἱμάτιον γυναικεῖον οὖλον, σαμεῖα ἔχον μὴ πλατύτερα ἡμιδακτυλίου, αἱ δὲ παῖδες καλάσηριν καὶ εἱμάτιον μὴ δια|φανές. Μὴ ἐχέτω δὲ μηδεμία χρυσία μηδὲ φῦκος μηδὲ ψιμίθιον μηδὲ ἀνάδεμα μηδὲ τὰς τρίχας ἀνπεπλεγμένας μήτε ὑπο|δήματα εἰ μὴ πίλινα ἢ δερμάτινα ἱερόθυτα. Δίφρους δὲ ἐχόντω αἱ ἱεραὶ εὐσυΐνους στρογγύλους καὶ ἐπ' [αὐ]τῶν ποτικεφάλαια | ἢ σπῖρα * λευκά, μὴ ἔχοντα μήτε σκιὰν μήτε πορφύραν. Ὅσα[ς] δὲ δεῖ διασκευάζεσθαι εἰς θεῶν διάθεσιν, ἐχόντω τὸν εἱματισμόν, | καθ' ὃ ἂν οἱ ἱεροὶ διατάξωντι· ἂν δέ τις ἄλλως ἔχει τὸν εἱματισμὸν παρὰ τὸ διάγραμμα ἢ ἄλλο τι τῶν κεκωλυμένων, μὴ ἐπιτρεπέ|τω ὁ γυναικονόμος καὶ ἐξουσίαν ἐχέτω λυμαίνεσθαι, καὶ ἔστω ἱερὰ τῶν θεῶν.

Ὅρκος γυναικονόμου. Οἱ δὲ ἱεροί, ὅταν καὶ αὐτοὶ ὀμό-

σωντι, ὀρκιζόντω τὸν γυναικονόμον ἐπὶ τῶν αὐτῶν ἱερῶν· εἴ μὰν ἔξειν ἐπιμέλειαν περί τε τοῦ εἱματισμοῦ καὶ τῶν λοιπῶν τῶν | ἐπιτεταγμένων μοι ἐν τῷ διαγράμματι.

Πομπᾶς. Ἐν δὲ τᾷ πομπᾷ ἀγείστω Μνασίστρατος, ἔπειτεν sic ὁ ἱερεὺς τῶν θεῶν, οἷς | τὰ μυστήρια γίνεται, μετὰ τᾶς ἱερέας, ἔπειτα ἀγωνοθέτας, ἱεροθύται, οἱ αὐλητaί, μετὰ δὲ ταῦτα αἱ παρθένοι αἱ ἱεραί, καθὼς ἄν λά|χωντι, ἄγουσαι τὰ ἄρματα, ἐπικειμένας κίστας ἐχούσας ἱερὰ μυστικά· εἶτεν ἁ θοιναρμόστρια ἁ εἰς Δάματρος καὶ αἱ ὑποθοιναρ|μόστριαι αἱ ἐμβεβακυῖαι, εἶτεν ἁ ἱέρεα τᾶς Δάματρος τᾶς ἐφ' ἱπποδρόμῳ, εἶτεν ἁ τᾶς ἐν Αἰγίλᾳ, ἔπειτεν αἱ ἱεραὶ κατὰ μίαν, κα|θὼς κα λάχωντι, ἔπειτεν οἱ ἱεροί, καθὼς κα οἱ δέκα διατάξωντι. Ὁ δὲ γυναικονόμος κλαρούτω τάς τε ἱερὰς καὶ παρθένους καὶ ἐπιμέλειαν | ἐχέτω, ὅπως πομπεύωντι καθὼς κα λάχωντι. Ἀγέσθω δὲ ἐν τᾷ πομπᾷ καὶ τὰ θύματα, καὶ θυσάντω τᾷ μὲν Δάματρι σῦν ἐπίτοκα, Ἑρμᾶ|νι κριόν, μεγάλοις θεοῖς δάμαλιν σῦν, Ἀπόλλωνι Καρνείῳ κάπρον, Ἀγνᾷ ὄϊν. — Σκανᾶν. Σκανὰν δὲ μὴ ἐπιτρεπόντω οἱ ἱεροὶ μηθένα ἔχειν ἐν | τετραγώνῳ μείζω ποδῶν τριάκοντα, μηδὲ περιτιθέμεν ταῖς σκαναῖς μήτε δέρρεις μήτε αὐλείας, μηδέ, ἐν ᾧ ἄν τόπῳ περιστεμ|ματώσωντι οἱ ἱεροί, μηθένα τῶν μὴ ὄντων ἱερῶν ἔχειν σκανάν, μηδὲ παρερπέτω μηθεὶς ἀμύητος εἰς τὸν τόπον, ὃν κα περιστεμμα|τώσωντι· χωραξάντω δὲ καὶ ὑδράνας. Ἀναγραψάντω δὲ καὶ ἀφ' ὧν δεῖ καθαρίζειν καὶ ἃ μὴ δεῖ ἔχοντας εἰσπορεύεσθαι [κ]α[ὶ μ]ὴ δεῖ ἔχειν | ἐν ταῖς σκαναῖς· μηθεὶς κλίνας ἐχέτω ἐν τᾷ σκανᾷ μηδὲ ἀργυρώματα πλείονος ἄξια δραχμᾶν τριακοσιᾶν· εἰ δὲ μή, μὴ ἐπιτρεπόν|τω οἱ ἱεροί, καὶ τὰ πλειονάζοντα ἱερὰ ἔστω τῶν θεῶν.

Ἀκοσμούντων. Ὅταν δὲ αἱ θυσίαι καὶ τὰ μυστήρια συντελεῖται, εὐφαμεῖν πάν|τας καὶ ἀκούειν τῶν παραγγελλομένων, τὸν δὲ ἀπειθοῦντα ἢ ἀπρεπῶς ἀναστρεφόμενον εἰς τὸ θεῖον μαστιγούντω οἱ ἱεροὶ | καὶ ἀποκωλυόντω τῶν μυστηρίων. — Ῥαβδοφόρων. Ῥαβδοφόροι δὲ ἔστωσαν ἐκ τῶν ἱερῶν εἴκοσι καὶ πειθαρχούντω τοῖς ἐπιτελούν|τοις τὰ μυστήρια καὶ ἐπιμέλειαν ἐχόντω, ὅπως εὐσχημόνως καὶ εὐτάκτως ὑπὸ τῶν παραγεγενημένων πάντα γίνηται, καθὼς ἄν | παραγγέλλωντι οἱ ἐπὶ τούτων τεταγμένοι, τοὺς δὲ ἀπειθοῦντας ἢ ἀπρεπῶς ἀναστρεφομένους μαστιγούντω. Ἄν δέ τις τῶν ῥα|βδοφόρων μὴ ποιεῖ καθὼς γέγραπται ἢ ἄλλο τι ἀδικεῖ ἢ ποιεῖ ἐπὶ

28 direct discourse. as if ὀρνύω intransitive. cf. l. 2. T 263

ἐγείρετον αν χρήσιμ, ἐλέσθον Lokrian I. G. A. 322 s. 10.

30. ἐπικείμενος Thessalian imp. 1625. ἄρματα ἐπικ. κίονας = ἀνὴρ κυνῆν ἐπικείμενος

31 εἰς. στρατηγοῖς τοῖς εἰς Σικελίαν Andoc. I. 11. τῶν εἰς Μιτυλήνην στρατιωτῶν Isaeus XI
cf χορηγεῖν, ἄρχειν, δίκην εἰς

29. παρθένοι ἐσπαῖδες[19] summaries women
ἀγωνοθεσία τῶν Παναθηναίων C. I. A. II 422. g. ἀγωνοθέτης ~ Messana C. I. G. 1297. Sparta 1345, But ἀθλοθέτης Attikoi. ἀγωνοθέτης Ἕλληνες Monie. comed. ἀγωνοθ. = Hierodikai are standing offices

31. Διὸς ἱππιος ap. schol Aig. gehören zu verwandt = Kultus andern Orts und gelegentl. Feste zu den Festen in [illegible] Hol mentions gs Δ. i π on Lycosura Cult.
ἐμβατήρια inhabitants nearly entered upon their office ἐμβάτης boy in Laws 656 C (note)
οἱ ἑπτακόσιοι κάδοι C. I. G. 2556 gg. Δοιναμοστρία Lady presiding over feast Dec. C. I. G. 4697.
Αἰγίδα S. Italian coast d'accordia, now Manfredonia, Paus. IV. 17. 1 Αἰγίδα ἱδρύσασθαι
ἱδρύσασθαι a sanctuary Dennett. S. D. Αἰγίδα.
Ἑρμᾶν Lokrian. Ἑρμάων Hesych. cf Ερμᾶς Ποσειδᾶς

3. οἱ ἑπίτης · ἐπίτοκος · metaplastic ἡ δίδυμος ἐπίτοκος, commonly ἐπίτοκα

4 δαμάλης ὁ. δαμάλις ἡ generally young ox, cow. Domitian ox, cow
ὑφεσις ~ offal. τὰ μόσχεια and πόρεια. δ. only two of ours. Il ° διετῆ βοῦν
κάπρον: τῶν οὐῶν οἱ μὲν τέλειοι καὶ ἔνορχεις κάπροι

μεγ. θεοί Καβειροί Samothracian mysteries. Mithras conjoined their cult ~ those of
ἀμφὶ ἀνδρία Paus. 4. 1. 7; 9. 25. 6
αἰθεία only here. αἰθαία · τὸ τῆς σκηνῆς παραπέτασμα
= curtain the boundary marks off by connected ... of wool

1 περὶ μηλ ἕκαστον. Ὅδρανος = περιῤῥαντήρια. used ~ lustral purifications
2 quoted ἐφ' ὧν χρὴ καθαρίζεσθαι ὥστε αἷς τὸ ἱερὸν ἐστίενται Dawkins

19 Dion. καὶ μυσ. Eleusinian mysteries

20 During the celebration the conductors give out certain orders

21. βαβ. cries for Dionysus in Pol. L

22 We expect παραγιγορμένων; but perf. = those that have arrived at celebration time

45. πίπτει τὰ τέλη are due. Strabo

46. εἰσφέρω = alleĩ προβάλλω

47. the names of the persons who propose the several members of committee of 5 are to be inserted

48. ἐμ πάντος public meeting of the council

49. Chief supervision of the treasury. Ἱεροποιὰς the subordinate officials
συννόμων. usually ἐννόμων

50 ἐπιστατικόν enhance money, paid by πρυτανεῖα when they entered office.

51. μαστῆρες αἱ τῶν ἀρχόντων εἰδῶσι. Sc = ὑπεύθυνοι . Sc Καταμαστρος χρημάτων Dtl. 233$_{21}$.

The study of the Greek of papyri in which the decrees are preserved were chosen chiefly before festival [illegible] to account for receipts in new expenditure in the ai... e.g. ἐπὶ τῶν γραμματέων who chosen chiefly when the treasury, and the receipts 'money in hands' [illegible] from former treasurer, and of all pay for the [illegible] and of the money is insufficient, make estimate, and get necessary funds from the treasury; pay cost of Museum; pay back from proceeds [illegible] their loan

1. ὑπεκδέχομαι = ὑπεκ-. ἔκθεμα sale. ἐκ πρόγραμμα. Sc separate account

2 ἀπο- = κατα-τρέχω. a normal.
note not ἐκ τῶν as elsewhere

καταλύσει τῶν μυστηρίων, κριθεὶς ἐπὶ τῶν ἱερῶν, ἂν κατα-
45 κριθεῖ, μὴ | μετεχέτω τῶν μυστηρίων.

Περὶ τῶν διαφόρων. Τὰ δὲ πίπτοντα διάφορα ἐκ τῶν μυστηρίων ἐγλεγόντω οἱ κατασταθέντες ὑπὸ | τοῦ δάμου πέντε. Εἰσφερόντω δὲ οἱ ἄρχοντες ἀνάνκᾳ πάντες, μὴ δὶς τοὺς αὐτούς, τίμαμα ἔχοντα ἕκαστον μὴ ἔλασσον ταλάν|του, καὶ τῶν κατασταθέντων παραγραψάτω ἁ γερουσία τὸ τίμαμα, ὡσαύτως δὲ καὶ τὸ τῶν εἰσενεγκάντων· τοῖς δὲ ἐγλογευόντοις | τὰ διάφορα λειτουργείτω ὁ ἀργυροσκόπος. Ὅταν δὲ ἐπιτελεσθεῖ τὰ μυστήρια, ἀπολογισάσθωσαν ἐμ πάντοις ἐν τᾷ πρώτᾳ συν|νόμῳ συναγωγᾷ τῶν συνέδρων· καὶ γραφὰν ἀποδόντω τῷ ἐπιμελητᾷ παραχρῆμα, γράφοντες ἐπ' ὀνόματος
50 τὰ πεπτωκότα δι[ά]|φορα ἀπὸ τοῦ καθαρμοῦ καὶ ἀπὸ τῶν πρωτομυστᾶν τὸ ὑποστατικόν, καὶ ἄν τι ἄλλο πέσει, καὶ τὰν γεγενημέναν ἔξοδον, καὶ [ὅ]τι ἂν εἶ | λοιπόν, καὶ ἀριθμησάντω παραχρῆμα τῷ ταμίᾳ, καὶ ἔστωσαν ὑπόμαστροι, ἄν τι εὑρίσκωνται ἀδικοῦντες, διπλασίου καὶ ἐπιτιμίου | [δραχ]μᾶν χ[ι]λιᾶν, καὶ οἱ δικαστ[αὶ μ]ὴ ἀφαιρούντω μηθέν. Οἱ δὲ ἐν τῷ πέμπτῳ καὶ πεντηκοστῷ ἔτει κατεσταμένοι ἐξοδιασάντω
53=55 καὶ Μνα[σισ]τράτῳ τὸ διδόμενο[ν αὐτῷ] διάφορον εἰς τὸν στέφανον ὑπὸ τᾶς [πό]λεος, δραχμὰς ἑξακισχιλίας. Ἀποδόντω
54=56 δὲ τῷ ταμίᾳ καὶ ὅσα κα εἶ | [πρ]οεξωδιασμένα διάφορα [ὑπ]ὸ τοῦ ταμίου ἐ[ν τούτῳ τῷ] ἔτε[ι εἰς τ]ὰ κ[α]τασκευαζόμ[ενα] ἐν [τῶι] Καρνει[57]ασίῳ ἢ δαπανούμενα χάριν τῶν μυστηρίων. Τὸ δὲ [λοιπὸν ἐκ τῶν διαφόρων τούτου τοῦ ἔτους] ἐξοδιαζόντ[ω οἱ πέντε εἰς τὰ] ἐπισκε[υα]|ζόμενα ἐν τῷ Καρνειασίῳ· καὶ ἄν τινος ἔτι χρεία εἶ, [ποτὶ ταύτας τὰς] ποθόδους φερόντω γράφοντες ῥη[τῶς, εἰς] ὃ ἂν χρεία εἶ, καὶ οἱ ἄρχον|τες καὶ οἱ σύνεδροι δογματοποιείσθωσαν, ὅτι δεῖ τὸν ταμίαν [ἐγδόμ]εν τὰ διάφορα· ἀπὸ δὲ τῶν πιπτόντων ἐκ τῶν μυστηρίων ἀπο-
60 καθι[στάσθω τῷ ταμίᾳ τὰ διάφορα. Καὶ ἀποδόντω γραφὰν τῷ ἐπιμελητᾷ, περὶ ὧν κα διοικήσωντι, καὶ ἔστωσαν ὑπόμαστροι, ἄν τι ἀδικήσωντι, κα|θὼς ἐπάνω γέγραπται. Ὁ δὲ ταμίας, ὅσον κα παραλάβει διάφορον λοιπὸν ἐκ τούτων, γραφέτω ἐν ὑπεχθέματι εἰς τὰν ἐπισκευὰν τῶν ἐν τῷ | Καρνειασίῳ καὶ μὴ ἀναχρησάσθω εἰς ἄλλο μηθέν, μέχρι ἂν ἐπιτελεσθεῖ, ὅσων χρεία ἐστὶ ποτὶ τὰν τῶν μυστηρίων συντέλειαν, μηδὲ γρα|ψάτω μηθεὶς δόγμα, ὅτι δεῖ ταῦτα τὰ διάφορα εἰς ἄλλο τι καταχρήσασθαι· εἰ δὲ μή, τό τε γραφὲν ἀτελὲς

ἔστω καὶ ὁ γράψας ἀποτεισάτω δραχμὰς δισχιλίας, ὁμοίως δὲ καὶ ὁ ταμίας, ὅτι κα ἐξοδιάσει, διπλοῦν καὶ δραχμὰς δισχιλίας, καὶ οἱ δικασταὶ μὴ ἀφαιρούντω μηθέν, καὶ τὰ πίπτοντα ‖ ἐκ ταυτᾶν τᾶν χρισίων διάφορα ὑπαρχέτω εἰς τὰν ἐπισκευὰν τῶν ἐν τῷ Καρνειασίῳ. Ὅταν δὲ ἐπιτελεσθεῖ ὅσων χρεία ἐστὶ ποτὶ τὸ συντελεῖν τὰ μυστήρια, ὑπαρχέτω τὰ πίπτοντα διάφορα τῶν μυστηρίων εἰς τὰς τᾶς πόλεος ἐσόδους.

Θυμάτων παροχᾶς. Οἱ ἱεροὶ μετὰ τὸ καταστασθῆμεν προκαρύξαντες ἐγδόντω τὰν παροχὰν τῶν θυμάτων, ὧν δεῖ θύεσθαι καὶ παρίστασθαι ἐν τοῖς μυστηρίοις, καὶ τὰ εἰς τοὺς καθαρμούς, ἐγδιδόντες, ἄν τε δοκεῖ συνφέρον εἶμεν, εἰς τὸ αὐτὸ πάντα τὰ θύματα, ἄν τε κατὰ μέρος, τῷ τὸ ἐλάχιστον ὑφισταμένῳ λάμψεσθαι διάφορον. Ἔστι δὲ ἃ δεῖ παρέχειν πρὸ τοῦ ἄρχεσθαι τῶν μυστηρίων, ἄρνας δύο λευκούς, ἐπὶ τοῦ καθαρμοῦ κριὸν εὔχρουν, καὶ ὅταν ἐν τῷ θεάτρῳ καθαίρει, χοιρίσκους τρεῖς, ὑπὲρ τοὺς πρωτομύστας ἄρνας ἑκατόν, ἐν δὲ τᾷ πομπᾷ Δάματρι σὺν ἐπίτοκα, τοῖς δὲ μεγάλοις θεοῖς δάμαλιν διετῆ σὺν, Ἑρμᾶνι κριόν, Ἀπόλλωνι Καρνείῳ κάπρον, Ἁγνᾷ ὄϊν. Ὁ δὲ ἐγδεξάμενος κατεγγυεύσας ποτὶ τοὺς ἱεροὺς λαβέτω τὰ διάφορα καὶ παριστάτω τὰ θύματα εὐίερα, καθαρά, ὁλόκλαρα καὶ ἐπιδειξάτω τοῖς ἱεροῖς πρὸ ἁμερᾶν δέκα τῶν μυστηρίων, τοῖς δὲ δοκιμασθέντοις σαμεῖον ἐπιβαλόντω οἱ ἱεροὶ καὶ τὰ σαμειωθέντα παριστάτω ὁ ἐγδεξάμενος. Ἂν δὲ μὴ παριστᾷ ἐπὶ τὰν δοκιμασίαν, πρασσόντω οἱ ἱεροὶ τοὺς ἐγγύους αὐτὸ καὶ τὸ ἥμισυ, τὰ δὲ θύματα αὐτοὶ παρεχόντω, καὶ ἀπὸ τῶν πραχθέντων διαφόρων κομισάσθωσαν τὰν γενομέναν δαπάναν εἰς τὰ θύματα. — Τεχνιτᾶν εἰς τὰς χοριτείας. Οἱ ἱεροὶ προγραφόντω κατ' ἐνιαυτὸν τοὺς λειτουργήσοντας ἔν τε ταῖς θυσίαις καὶ μυστηρίοις αὐλητὰς καὶ κιθαριστάς, ὅσους κα εὑρίσκωντι εὐθέτους ὑπάρχοντας, καὶ οἱ προγραφέντες λειτουργούντω τοῖς θεοῖς.

Ἀδικημάτων. Ἂν δέ τις ἐν ταῖς ἁμέραις, ἐν αἷς αἵ τε θυσίαι καὶ τὰ μυστήρια γίνονται, ἁλῷ εἴτε κεκλεβὼς εἴτε ἄλλο τι ἀδίκημα πεποιηκώς, ἀγέσθω ἐπὶ τοὺς ἱερούς, καὶ ὁ μὲν ἐλεύθερος, ἂν κατακριθεῖ, ἀποτινέτω διπλοῦν, ὁ δὲ δοῦλος μαστιγούσθω καὶ ἀποτεισάτω διπλοῦν τὸ κλέμμα· τῶν δὲ ἄλλων ἀδικημάτων ἐπιτίμιον δραχμὰς εἴκοσι· ἂν δὲ μὴ

65. Καρνειασίῳ · cf. Καρνεᾶται in Sparta. Καρνεάτης inscr. Paus. ἐν Καρνάσιον
S. says also ἐν τῶν Καρνεα-

ἀμφορεὺς ἀμφιφορεύς, ἀμφορῆς ἐφικτόν

80. ὑπὲρ accus. Delph. Ditt. 452, S. τὸν θεόν

71. Generally κατεγγυᾶν . contracts ἐγγύης 622

ἀὐτό: the animal itself for which they have undertaken bail

75. S. χορείας · cf. 98

77. κλέβω ἢ κλέπτω ἢ κρύβω ἢ κρύπτω

Καὶ παραδώσειν αὐτὸν (the slave) καὶ τὸ δεσπότου τοὔνομα τῇ βουλῇ καὶ τῇ βουλῇ καὶ τὸ ψήφισμα τῆς βουλῆς καὶ τοῦ δήμου τῶν Ἀθ. ... καὶ τὸ παραδώσειν τοὔνομα αὐτοῦ τὸ ἐφ' ἑκατέρου τῷ βασιλεῖ καὶ τῇ βουλῇ (Ἐφ. ἀρχ. 3137). cf. ἐπανάγειν ἐπὶ τὸν βασιλέα

80. Κοιττόντων · cf. on 40,144

The right · Asylum probably limited to · time · Lacaena, and only a special portion marked off for them

87. διδασία sc. ἔγρεια. ex Plato

88 ἥνται = ὦσι : cf. πίθηνται ἢ πίθενται

11. If the priest decide against the claim, but refuse to have him removed, his master may take him by force out of asylum

The κράνα Paus. IV. 33.4

5.6 ς καταθέμεν· [αἰ δ' ἄλλῳ ἀποδοῖν|τ' ἢ καταθείεν, μὲ]δικαίαν ἔμεν τ-
7.8 ὰν ὀνὰν καὶ τὰν κα[τάθεσιν· καὶ α|ἰ ἄλλος πρί]αιτό τις κρέματα ἢ
9.10 καταθεῖτο τῶν τᾶς πα[τρῶκο, τ]ὰ [μ]ὲν [κρ]έματα ἐπὶ τᾷ πατρῶκ-
11.12 ῳ ἔμεν, (ʼ)ο δ' ἀποδόμενος ἢ κατ|αθὲνς τῷ πριαμένῳ ἢ καταθε-
13.14 μένῳ, αἴ κα νικαθῇ, διπλῆ κα|τάστασεῖ, καΐ τί κ' ἄλλ' ἀτάσῃ, τ-
15 ὸ (ʼ)απλόον ἐπικαταστασεῖ.

C

1.2 .....στέγαμ μέν, | αἴ κ' ἒ ἐν πόλι.....
3.4 .....ι ἐν τᾷ στέγ|ᾳ, τὸν δ' ἄλλο[ν.....
5.6 .....ἄ]λλῳ ὀπυιέ(θ)θ|αι τᾶς πυλᾶ[ς.....
7.8 .....ἀ]ποδατέ(θ)θαι δ|ὲ τὸν χρεμάτ[ον .....
9.10 .....εσται παι π|ατρῴκῳ λ.....
11.12 .....υας τᾶς πυ|λᾶς ὀπυιέ(θ)θ[αι.....
13.14 .....σμετιμλε|ιοι ὀ[π]υίεν τ[ὰν πατρῶκον.....
15 .....ε...αικ |

Haussoullier, Bull. Corr. Hell. IV (1880) p. 461 sqq. Roehl IGA. 475. Blass Rhein. Mus. 36 (1881) p. 612 sqq. — Pars est legis hereditariae Gortyniorum tribus columnis scripta literis βουστροφηδὸν positis. De supplendo hoc titulo maximam partem convenit inter Roehlium et Blassium; cf. quae de ea re ipse Roehl dixit in Addendis.

Columnam *B* Attice ita fere transcripsit Blass:

Τοὺς προσήκοντας, ἐάν τις ἀποθανὼν θυγατέρα πατροῦχον κα|ταλίπῃ, ἢ αὐτοὺς τῶν χρημάτων ἐπιμέλεσθαι ἢ τοῖς πρὸς μητρὸς τῇ παιδὶ προσή‖κουσιν ὑποθεῖναι· εἰ δ' ἄλλῳ ἀπόδοιντο ἢ ὑποθεῖεν, μὴ κυρίαν εἶναι τὴν | ὠνὴν καὶ τὴν ὑποθήκην· καὶ εἰ ἄλλος πρίαιτό τις κτήματα ἢ ‖ ὑπόθοιτο τῶν τῆς πατρούχου, τὰ μὲν κτήματα ἐπὶ τῇ πατρούχῳ | εἶναι, ὁ δ' ἀποδόμενος ἢ ὑποθεὶς τῷ πριαμένῳ ἢ ὑποθε‖μένῳ, ἐὰν ἡττηθῇ, διπλῇ ἀποτείσει, καὶ ἐάν τι ἄλλο βλάψῃ, | τὸ ἁπλοῦν προσαποτείσει.

B 14 ἀτάσᾳ: agnovit Blass, cui assentitur Roehl in Addendis, laudans ἀτασεῖ IGA. 72. — *C* 6 πυλᾶς: i. e. φυλῆς Attice. — 9. 13: coniecturas parum probabiles Roehlii et Blassii vide apud ipsos.

---

113 [= 37] Tabula marmorea prope Gortynem reperta.

. . . . . .

1.2 [. . . τ]ὸν ἄνπαντον, καὶ μ[ὲ] ἐ|πάνανκον ἔμεν τέλλεν [τὰ τ]–
3.4 [ὃ ἀν]παναμένο, καὶ τὰ κρέμα|τα ναιλι(θ)θαι α(ἴ) τί κα κατα[λίπε?]–
5.6 [ι (᾽)ο ἀν]πανάμενος· πλιυι δὲ τὸν | ἄνπαντομ μὲ ἐπικορῆν. [Αἰ δὲ]
7.8 [ἀπο]θάνοι (᾽)ο ἄνπαντος γνέσια | τέκνα μὲ καταλιπόν, πὰρ τὸ[νς τ]–
9.10 [ὸ ἀνπ]αναμένο ἐπιβαλλόνταν|ς ἀνκορῆν τὰ κρέματα. Αἰ δ[ὲ θέ]–
11.12 [λοι] (᾽)ο ἀνπανάμε[ν]ος, ἀποϝειπ|άθθο κατ' ἀγορὰν ἀπὸ τὸ λᾶ[ϝος],
13.14 [ἀπ' (᾽)ὸ ἀ]γορεύοντι, καταϝελμέν|ον τὸν πολιατᾶν· ἀνθέμ[εν. .]
15.16 [. . . .σ]τατέρανς ἐϝ δ[ι]καστ‖ερίο] . . . . . .

. . . . . .

Thénot, Rev. arch. n. s. VIII (1863) p. 441 sqq. Voretzsch, Jahrb. Philol. Paed. 99 (1869) p. 665 sqq. Savelsberg ibid. p. 679 sqq. Bréal, Rev. arch. n. s. 36 (1878) p. 346 sqq. Roehl IGA. 476. — Pars est eiusdem legis cuius n. 112 et eadem ratione scripta. De aetate literaturae, quae in utroque lapide exstat, cf. Kirchhoff Alph.[3] 62. 65.

Quae intelleguntur, Attice scribere possis ita:

. . . τὸν ἀνάφαντον (i. e. εἰσποίητον), καὶ μὴ ἐπάναγκες εἶναι τελεῖν τὰ τ|οῦ ἀναφηναμένου (i. e. εἰσποιησαμένου), καὶ τὰ χρή–
5 ματα . . . . . ἐάν τι καταλίπῃ ‖ ὁ ἀναφηνάμενος . . . . . δὲ τὸν ἀνάφαντον μὴ ἐπιχωρεῖν (i. e. ἐμβατεύειν εἰς κληρονομίαν).

ἦρας· ἄλγυνας

cf. ἀναφῆναι μόναρχος to be declared Plato.

2 ἐπάναγκον C.I.G. 3562 Pergamon.. perform the duties attaching to the adoptive father
ἀναιλῆδαι take possession of the property = ἀναιρεῖσθαι. ἀφαιλήτας also Cretan

5. Ans the adopted person shall not lay claim to more than this

πλίνι cf. νῦς Sophron ἀμῦς = δμοῦ ὄπυς, ὕς·ἐκεῖ ; νῖς whether Abu-Simbel I.G.A. 482A. ὄπυι whether Gort. IX 15, νῖ Caus. 117/16. τυῖ·ὧδε τυτυῖ Gort. From loc. in υ + loc. ι. K.Z 32.394 Lo dan. τυῖδε, ἀπήλιω, μέσου

Βαλλιακκεαδο κατασηλμένων κατασεσελ- . fum aame mot us
ἐγσηλησίωνν Hesiodea 40.152 . ἀιτοσηλέοι Eli c.D. J 1154

Εἰ δ' | ἀποθάνοι ὁ ἀνάφαντος γνήσια τέκνα μὴ καταλιπών,
9 παρὰ τοὺς τ||οῦ ἀναφηναμένου προσήκοντας ἀναχωρεῖν τὰ χρή-
ματα. Εἰ δὲ θέ|λοι ὁ ἀναφηνάμενος, ἀπειπάσθω κατ' ἀγο-
13 ρὰν ἀπὸ τοῦ λίθου, ||ἀφ' οὗ ἀγορεύουσιν, ἠθροισμένων τῶν πο-
λιτῶν· ἀναθεῖναι...|.... στατῆρας ἐκ δικαστηρίου.....

De causa, ad quam pertinet haec pars legis, copiose egit Bréal l. l. — 4 ἀναιλί(θ)θαι: per ἀναιρεῖσθαι interpretatus est Voretzsch, cui assentitur Blass Rhein. Mus. 36 (1881) p. 615 comparans ἀ[φαι]λῆσθαι, quod exstet in titulo Cretico CIA. II, 547, 6; sed Blass ipse concedit ι vocalem nondum aliis exemplis illustratam esse. — 5 πλιοι: secunda litera non prorsus certa est; πρίοϊ, i. e. πρίν, legendum putat Bréal. — 11 sq. ἀποϝειπ,άθθο: alia exempla θ geminati sunt in titulo Cretensi, quem edidit Bergmann (De inscriptione Cretensi inedita, Berolini 1860), θαλάθθας 17, [θά]λαθθαν 36, ἰθθεντι, ἰθθάντες 54. Helbig, De dialecto Cretica (Plauen 1873) p. 12 ex scriptura quae est in θάλαθθα colligit θ a Cretibus similiter atque σ pronuntiatum esse; reliqua exempla aliter explicat idem p. 15. — 13 κατα-ϝελμένον: subesse verbum κατ-αϝέλλω putat Roehl. — 15 ἐγ δικαστ[ερίο]: cum secunda litera incerta sit, fortasse scribendum est ἐδ δικαστ[ερίο], ut ἐδδιέται pro ἐκδίηται IGA. 477; cf. Blass l. l.

---

114 Nummus Gortynius, qui nunc Berolini asservatur.

Γόρτυνος τὸ παῖμα.

Kirchhoff Alph.[3] 62. — Literae a dextra ad sinistram scriptae sunt. Friedlaender, Arch. Zeit. 31 (1874) p. 104 dubitat, utrum παῖμα an φαῖμα legendum sit.

---

115 Nummus Gortynis oppidi.

Τισυροι.

Friedlaender, Zeitschr. f. Num. VI (1879) p. 233. — Literae a dextra ad sinistram spectant. De Sallet l. l. p. 263 putat Τισυροι referendum esse ad Tityrum nomen montis.

2. Foedera inter varias civitates Cretenses icta.

116 [= 47] Fragmentum in agro Hierapytnio repertum.

.....ων |
.....αν δις οπο |
.....[τὰν ἰσοπολιτείαν καὶ τὸν ὅρκ]ον ἀγγραψάντων |
.....[ἐς] στάλας λιθίνας τρεῖς κα[ὶ] |
[τὰν μὲν θέντων οἱ Ἱεραπυτνίοι ἐ]ν Ἱεραπύτνᾳ ἐν τῷ ἱερῷ τὰς Ἀθαναί[ας τὰς Πολιάδος, τὰν] δὲ ἄλλαν οἱ κατοικόντες Ἱεραπυτνίοι | [ἐν Γόρτυνι] ἐν τῷ ἱερῷ τῶ Ἀσκλαπιῶ, τὰν δὲ τρίταν κοινᾷ | [ἐν Λυττοῖ] ἐν τῷ ἱερῷ τᾶς Ἀθαναίας. Αἰ δέ τί κα δόξῃ βωλευομέ[νοις] ἐπὶ τῷ κοινᾷ συμφέροντι ἐπιδιορθώσαι ἢ ἐξελὲν ἢ ἐν‖βαλέν, μὴ ἔνορκον ἔστω· ὅτι δὲ ἐ(γ)γράψαιμεν, ἔνορκόν τε ἔστω καὶ | ''ἔνθινον.

Ὅρκος· Ὀμνύω τὰν Ἑστίαν καὶ Τᾶνα Ὁράτριον καὶ Τᾶνα | [3]Δικταῖον καὶ Ἥραν καὶ Ἀθαναίαν Ὡλερίαν καὶ Ἀθαναίαν Πολιάδα |[3]καὶ Ἀθαναίαν Σαλμωνίαν καὶ Ἀπόλλωνα Πύθιον καὶ Λατὼ καὶ Ἄρ[τε]‖[10]μιν καὶ Ἄρεα καὶ Ἀφροδίταν καὶ Κωρήτας καὶ Νύμφας καὶ τὸς Κυρβάν‖[15]τας καὶ θεὸς πάντας καὶ πάσας· ἢ μὰν ἐγὼ εὐνοησῶ τοῖς ἐπί‖[16]πασι Ἱεραπυτνίοις τὸν ἅπαντα χρόνον ἁπλόως καὶ ἀδόλως, καὶ δὴ |[17]τὸν αὐτὸν φίλον καὶ ἐχθρὸν ἑξῶ καὶ πολεμησῶ ἀπὸ χώρας παντὶ |[18]σθένει, οὗ καὶ οἱ ἐπιπάντες Ἱεραπυτνίοι, καὶ τὸ δίκαιον δωσῶ καὶ | ἐμμενῶ ἐν τοῖς συγκειμένοις καὶ οὐ κακοτεχνησῶ οὐδεν[ὶ] τῶν ἐν τᾷδε τᾷ ἰσοπολιτείᾳ γεγραμμένων οὔτε λόγῳ οὔτε ἔργῳ [19]οὐδὲ ἄλλῳ ἐπιτραψῶ ἐχὼν καὶ γινώσκων παρευρέσει οὐδεμιᾷ [20]οὐδὲ τρόπῳ οὐδενί. Αἰ δέ τι ἐπιορκήσαιμι, τῶν ὤμοσα ἢ τῶν συνε|θέμαν, τός τε θεὸς τὸς ὤμοσα ἐμμανίας ἦμεν καὶ ἐξολλύσθαι |[21]κακίστῳ ὀλέθρῳ καὶ μήτε γᾶν μήτε δένδρεα καρπὸς φέρεν μήτε γυναίκας τίκτεν κατὰ φύσιν, τῷ τε πολέμῳ μή με σῶον νεέσθαι· εὐορ|κῶσι δὲ ἁμὶν τός τε θεὸς ἱλέος ἦμεν καὶ γινέσθαι πάντα ἀγαθά.

CIG. 2555. Foedus inter civitatem Hierapytniorum et cleruchos eorum factum, qui ubi habitaverint, deleta priore parte vs. 7 ignoratur. Simile est eius quod sequitur n. 117.

10 ἔνθινον: idem vocabulum significat »das Dortige« in titulo Chersonesi Tauricae reperto Bull. Corr. Hell. V p. 70 sqq. v. 31: quomodo hoc loco et in similibus titulis Creticis explicandum

6 κατοικόντες: dicuntur qui in exteris terris habitant, e.g. ita, ut tantum μετοίκων loco habeantur, e.g. ita, ut locus ubi habitant separatam civitatem non constituat, sed tecum ab alia civitate, e.g. οἱ κατοικοῦντες ibi habitant (2245) e.g. ita denique, ut alienam tantum terram colant cives alius civitatis in modum ἐλευθέρων non civium colonorum, sed tamen suam ibi constituant separatam civitatem (2264 Μιδησίων τῶν ἐν Ἀμοργῷ Αἰγιάδην κατοικούντων ἀρχοντας βουλήν, δῆμον). B. The Thenaphytai who live in another locality as clerouchs retain their citizenship, but as κατοικοῦντες they become subjects of them.

11 Τάν: cf. Δῆνα Δρερος. Τῆνα, Τῆνα indicate a palatal sound that could not be expressed by τε, δε. Δοὺς Lak. Boiot. Δάν Boiot., Old accus. Ζῆν dyám diem. Ζῆνα Lesbi (Hom.) ā artificiis. Ζῆν Ζάν Τάν Laken-fem accus. Meis. 421.

16. ἐπόμνυντες I. the whole body as distinguished from the two states making their agreement. B.

17 πολεμεῖν ἀπὸ χώρας bellum gerere etiam extra patrium solum

22 Θρᾴκια πρεσβεύσεως appositum Strabo

23 We expect μ' ἐξ ὀλλύσθαι
Imprecation, cf. C.I.G. 9289 ff. and Boeckh vol. I p. 808 b.

ἔμμᾱνις : ~~Δεῦ μοναι Boeotice~~ avenger. = ἔμμηνις not found. Accent of accus. pl.?

ἀρχεῖον · καὶ εὐσεβ·

4. ἐκλείπω gen. Plutarch.

9. π ἐκφέρεσθαι begin. inferre

13 alii mascul. ὄμνυμι νὴ τὸν Δία, nil ὀμνύναι Δία.
alii saepe ὀμνύναι μὲν Δία καὶ Ἀπόλλω καὶ Δήμητρα C. I. A. I. 9. 15
νὴ τὸν Δία καὶ τὸν Ἀπόλλω II add. 49. b. 24
νὴ τὸν Ποσειδῶ D. S. 77. 67

sit, nescitur. Cf. Blass Rhein. Mus. 36 (1881) p. 612. — 11 Τὰνα: cf. Τᾶνα in titulo Cretensi, quem edidit Bergmann, De inscr. Cret. ined., Blni. 1860, vv. 60. 61. 77. — **ΚΑΗΙΝΑ**. — 14 **ΚΟΡΗΤΑΣ**. — 18 οὔ: mirum; eodem loco est υἱ n. 117, 16. 22. — **ΔΟΣΩ**.

---

117 [= 45] Tabula marmorea opisthographa, olim Venetiis asservata, ubi fragmentum eius anno 1844 exstabat.

.....[ἐρπό]ντων δὲ οἱ Ἱεραπυτνίοι τοῖς Λυττίοις ἐς τὰ...
...|..... Λυττίοι τοῖς Ἱεραπυτνίοις ἐς τὰν εὐάμερον τα[ν
....., ὁ δὲ κόσμος τῶν | Ἱεραπυτνί]ων ἐρπέτω Λυττοῖ ἐς τὸ ἀρχεῖον· κατὰ ταὐτὰ δὲ καὶ ὁ τῶ[ν Λυττίων κόσμος ἐρπέτω ἐν Ἱεραπύτνᾳ ἐς] | τὸ ἀρχ[εῖον]. Αἰ δὲ οἱ κόσμοι ἐλλιποίεν τὰν θυσιᾶν τᾶν ἠ(γ)γραμμενᾶν, αἴ κα μή τι πόλε-
[μος κωλύσῃ, ἀποτεισάν]των ὁ κόσμος ἕκαστος ἀργυρίω στατήρας ἑκατόν, οἱ μὲν Ἱεραπυτνίοι τοῖς Λυττίοις τᾷ πόλει, [οἱ δὲ Λυττίοι τοῖς] | Ἱεραπυτνίοις τᾷ πόλει. Ὅτι δέ κα δόξῃ ταῖς πόλεσιν ἐξελὲν ἢ ἐνθέμεν, ὅτι μὲν ἐξέλοιμεν, μήτε ἔνθινον μή|τε ἔνορκον ἦμεν, ὅτι δὲ ἐγγράψαιμεν, ἔνθινόν τε ἦμεν καὶ ἔνορκον. Εἰ δέ τί κα θεῶν ἱλέων ὄντων λάβω|μεν ἀπὸ τῶν πολεμίων, λαγχανόντων κατὰ τὸ τέλος ἑκατέροι. Μὴ ἐξέστω δὲ ἰδίᾳ μήτε πόλεμον ἐ[ν]χφερέσθαι χωρὶς μήτε εἰρήναν τιθέσθαι, αἴ κα μὴ ἀμφοτέροις δόξῃ· αἰ δέ τινές κα ἰδίᾳ ἐξενεγκώνται, | αὐτοὶ καὶ διαπολεμόντων καὶ μὴ ἐνόρκοι ἔστων οἱ μὴ συμπολεμόντες. Στασάντων δὲ τὰς στάλας ἑκα[τ]έροι ἐν τοῖς ἰδίοις ἱεροῖς, οἱ μὲν Ἱεραπυτνίοι Ὡλεροῖ ἐν τῷ ἱερῷ, τὰν δὲ ἐν Ἀπόλλωνι, οἱ δὲ Λυττίοι ἐν τῷ [ἰ]ερῷ τ[ῶ Ἀπό]λλωνος καὶ ἐμ πόλει ἐν Ἀθαναίᾳ· στασάντων δὲ καὶ κοινὰν στάλαν ἐν Γόρτυνι ἐν | τῷ ἱερῷ τῶ [Ἀσκλαπιῶ]. — Ὅρκος Λυκτίων· Ὀμνύω τὰν Ἑστίαν καὶ Ζῆνα Ὁράτριον καὶ τὰν Ἀθαναίαν Ὡλερίαν καὶ Ζῆνα | Μ[ννίτιον καὶ Ἥρ]αν καὶ Ἀθαναίαν Πολιάδα καὶ Ἀπόλλωνα Πύτιον καὶ Λατὼ καὶ Ἄρεα καὶ Ἀφροδίταν καὶ Κωρή||τας καὶ Νύμφας καὶ θεὸς πάντας καὶ πάσας· ἦ μὰν ἐγὼ συμμαχησῶ τοῖς Ἱεραπυτνίοις τὸν πάντα χρό|νον ἁπλ[όως] καὶ ἀδόλως καὶ τὸν αὐτὸν φίλον καὶ ἐχθρὸν ἑξῶ καὶ πολεμησῶ ἀπὸ χώρας, υἱ κα καὶ ὁ Ἱεραπύτνιος· | καὶ τὸ δίκαιον δωσῶ καὶ ἐμμενῶ ἐν τοῖς συνκειμένοις, ἐμμενόντων καὶ τῶν Ἱεραπυτνίων. Ἐπιορκόντι μὲν | ἦμεν τὸς θεὸς ἐμμανίας καὶ γινέσθαι πάντα τὰ ὑπεναν-

τία, εὐορκῶσι δὲ τὸς θεὸς ἱλέος ἦμεν καὶ γινέσθαι πολ|*λὰ κἀγαθά. —Ὅρκος Ἰεραπυτνίων· Ὀμνύω τὰν Ἑστίαν καὶ Ζῆνα Ὁράτριον καὶ Ἀθαναίαν Ὠλερίαν κα[ὶ] Ζῆνα Μοννίτιον καὶ Ἥραν καὶ Ἀθαναίαν Πολιάδα καὶ Ἀπόλλωνα Πύτιον καὶ Λατὼ καὶ Ἄρεα καὶ Ἀφροδί|ταν καὶ Κωρήτας καὶ Νύμφας καὶ θεὸς πάντας καὶ πάσας· ἢ μὰν ἐγὼ συμμαχησῶ τοῖς Λυκτίοις τὸν | πάντα χρόνον ἁπλόως καὶ ἀδόλως καὶ τὸν αὐτὸν φίλον καὶ ἐχθρὸν ἑξῶ καὶ πολεμησῶ ἀπὸ χώρας, υἱ | κα καὶ ὁ Λύττιος· καὶ τὸ δίκαιον δωσῶ καὶ ἐμμενῶ ἐν τοῖς συνκειμένοις, ἐμμενόντων καὶ Λυκτίων. Ἐ[π]ιορ[κό]ντι τὸς θεὸς ἐμμανίας ἦμεν καὶ γινέσθαι πάντα τὰ ὑπεναντία, εὐορκῶσι δὲ τὸς θε[ὸ]ς ἱλέος ἦμεν καὶ γινέσθαι πολλὰ κἀγαθά.

Naber Mnemos. I (1852) p. 105 sq. Titulum ex lapide descripsit Cobet. Scriptus est in eodem lapide in quo n. 181. Utrumque foedus circa annum 220 a. Chr. factum esse putat Naber l. l. 88. 105.

ἐγγεγραμμένων 4 ἠ(γ)γραμμενᾶν: de ἐγγράφω, cf. Naber l. l. et G. Curtius Verb. II² 170. — 5 κόσμος: in uno titulo Cretensi (Bergmann, De inscr. Cret. ined. Blni. 1860) hoc vocabulum per rhotacismum mutatum est: κορμίοντων 4, [κό]ρμονς 41. — 6. 7 ἔνθινον: idem vocabulum significat »das Dortige« in titulo Chersonesi Tauricae reperto Bull. Corr. Hell. V p. 70 sqq. v. 31. — 13 I litera deleta. — 19 Λ litera deleta.

---

118 [= 46] Tabula marmorea eadem in qua n. 117.

[Θ]εός. |

Ἔδοξεν Ἰαραπυτνίων τοῖς κόσμοις τοῖς σὺν Ἀλεξάνδρῳ καὶ τ(ᾷ) πόλι· Μαγνήτων ἀποστηλάντων | πρεσβευτὰς Θεόδοτον Ἀντιόχω καὶ Ἀριστόμαχον Ἀριστοκλέος καὶ ἀ|νανεωμένων τὰν πατρίαν οἰκειότατα καὶ φιλίαν καὶ ἀξιώντων τὰ γεγρ|αμμένα παρ' αὐτοῖς Κρησὶν τίμια καὶ παρ' ἁμὶν ἀναγραφῆμεν κατὰ τὰ αὐτὰ Μά[γν]ησι καὶ θέμεν ἐν ἱαρῷ, ἀγαθᾷ τύχᾳ καὶ ἐπὶ σωτηρίᾳ Ἰαραπυτνίων καὶ Μαγνήτων, ἀν[αγράψαι] τὸς κόσμος ἐς στάλαν λιθίναν· Μάγνησιν ἀτέλειαν καὶ προεδρίαν κ[αὶ ἐπι|γαμίαν] καὶ ἔνκτησιν καὶ θείων καὶ ἀνθρωπίνων μετοχὰν καὶ ἐσαγωγὰν κ[αὶ ἐξ|αγωγὰν] ὑπάρχεν κατὰ τὰ ἀρχαῖα· καὶ

ἐντεῦθεν cf. πεπρωγγύηκα Homolea, conhausted· ἐγγεγύημαι, μεμετριμένος
Hdt. VII 1, ἠμφίεσμαι Hippon. 3 ἠνώχληκε Demosth. 21. 4. adhaerescunt pro

οἰκείως διαλέγεσθαι familiarly Thuc VI 89

ἐγγραμ habuerint utrique, quum foedus inirent

ἔμφορα mal inquilini a civis

θέμεν τὰν στάλαν ἐν τῷ ἱαρῷ [τὰς] ‖ Ἀθαναίας τὰς Πολιάδος. Εἰ δέ τίς κα ἀδικηθῇ Μάγνης ἐν Ἱαραπύτνᾳ, [δό]μεν αὐτῷ τὸ δίκαιον καθάπερ καὶ τοῖς προξένοις. Ἐπαινέσαι δὲ Μαγν[ή]τας, διότι διαφυλάσσοντι τὰ παρδεδομένα ὑπὸ τῶν προγόνων καὶ ἐπὶ πλέο[ν αὔ]ξοντι, καὶ τὸς πρεσβευτάς, ὅτι οἰκηΐως καὶ φιλοτίμως διελέχθεν καὶ παρ[εκαλέ]σαν ἀξίως Μαγνήτων καὶ Ἱαραπυτνίων, καλέσαι τε τὸς πρεσβευτὰς [ἐς πρυ]τανήϊον καὶ δόμεν αὐτοῖς ξένια ἀργυρίω μνᾶν καὶ παρπέμψαι μετ' ἀ[σφα]λείας, υἱ κα βωλώνται. Οἱ κόσμοι πάντες ἐπεστάτον.

Naber, Mnemos. I (1852) p. 114 sqq. Hoc foedus inter Hierapytnios et Magnetes factum aliquanto recentius esse quam antecedens n. 117, quod inter Hierapytnios et Lyctios factum est, exposuit Naber l. l. 115.

---

119 [= 48] Marmor ex Creta in Britanniam delatum.

[Θ]εὸς ἀγαθ[ός.] |

Ἀγαθᾷ τύχᾳ καὶ ἐπὶ σωτηρίᾳ, ἐπὶ κόσμ[ων ἐν μέν] | Ἱαραπύτνᾳ τῶν σὺν Ἐνίπαντι τῷ Ἑρμαίω [καὶ μηνὸς] | Ἰμαλίω, ἐν δὲ Πριανσιοῖ ἐπὶ κόσμων τῶν σὺ[ν Νέωνι τῷ] | Χιμάρω καὶ μηνὸς Δρομηΐω, τάδε συνέθε[ντο καὶ συνευ]δοκήσαν ἀλλάλοις Ἱαραπυτνίοι καὶ Πριανσίοι, [ἐμμενόν]τες ἐν ταῖς προυπαρχώσαις στάλαις ἰδίᾳ τε[θείσαις] | Γορτυνίοις καὶ Ἱαραπυτνίοις καὶ τᾷ κατὰ κοινὸ[ν Γορτυνίοις] | καὶ Ἱαραπυτνίοις καὶ Πριανσίοις, καὶ ἐν τᾷ φιλίᾳ [καὶ συμμα]χίᾳ καὶ ὅρκοις τοῖς προγεγονόσι, ἔν τ' αὐταῖς τ[αῖς πόλεσι] ‖ καὶ ἐπὶ τᾷ χώρᾳ, ᾇ ἑκατέροι ἐχόντες καὶ κρατόν[τες συν]θήκαν ἔθεντο, εἰς τὸν πάντα χρόνον· Ἱαραπυτ[νίοις] | καὶ Πριανσίοις ἦμεν παρ' ἀλλάλοις ἰσοπολιτείαν καὶ ἐπιγα|μίας καὶ ἔνκτησιν καὶ μετ- sic
οχὰν καὶ θείων καὶ ἀνθρωπίνων | πάντων, ὅσοι κα ἔωντι ἔμφυλοι παρ' ἑκατέροις· καὶ πωλόν|τας καὶ ὠνωμένος καὶ δανειζόντας καὶ δανειζομένος | καὶ τἆλλα πάντα συναλλασσόντας κυρίος ἦμεν κατὰ | τὸς ὑπαρχόντας παρ' ἑκατέροις νόμος. Ἐξέστω δὲ τῷ | τε Ἱαραπυτνίῳ σπείρεν ἐν τᾷ Πριανσίᾳ καὶ τῷ Πριαν|σιεῖ ἐν τᾷ Ἱαραπυτνίᾳ, διδῶσι τὰ τέλεα καθάπερ οἱ ἄλλοι ‖ πολῖται κατὰ τὸς νόμος τὸς ἑκατέρᾳ

κειμένος. Εἰ δέ τί | [16]κα ὁ Ἱεραπύτνιος ὑπεχθήται ἐς Πριάν-
σιον ἢ ὁ Πριανσιεὺς | ἐς Ἱεράπυτναν ὁτιοῦν, ἀτέλε|ια ἔστω καὶ
ἐσαγομένῳ καὶ | ἐξαγομένῳ αὐτὰ καὶ τούτων τὸς καρπὸς καὶ
κατὰ γᾶν | καὶ κατὰ θάλασσαν· ὧν δέ κα ἀποδῶται, κατὰ
θάλασσαν ἐώσας ἐξαγωγᾶς, τῶν ὑπεχθεσίμων ἀποδότω τὰ
τέλεα | [17]κατὰ τὸς νόμος τὸς ἑκατέρη κειμένος. Κατὰ ταὐτὰ
δὲ | [18]καὶ εἴ τίς κα νε[ί]μ[ῃ], ἀτ]ελὴς ἔστω· αἰ δέ κα σινήται,
ἀποτεισά|[19]τω τὰ ἐπιτίμια [ὁ] σι[νό]μενος κατὰ τὸς νόμος τὸς
ἑκατέρη κει|[20]μένος. Πρειγῆϊα δὲ ὦ [κ]α χρείαν ἔχῃ πορηΐω
παρεχόντων ‖ [21]οἱ μὲν Ἱεραπυτνίοι κόσμοι τοῖς Πριανσιεῦσι,
οἱ δὲ Πριανσιὲς | [22]κόσμοι τοῖς Ἱεραπυτνίοις· αἰ δὲ μὴ παρι-
σχαίεν, ἀποτεισάν|[23]των οἱ ἐπιδάμοι τῶν κόσμων τᾷ πρειγεία
στατήρας δέκα. | [24]Ὁ δὲ κόσμος ὁ τῶν Ἱεραπυτνίων ἐρπέτω ἐν
Πριανσιοῖ ἐς | [25]τὸ ἀρχεῖον καὶ ἐν ἐκκλησίᾳ καθήσθω μετὰ
τῶν κόσμων· ‖ [26]ὡσαύτως δὲ καὶ ὁ τῶν Πριανσιέων κόσμος
ἐρπέτω ἐν Ἱε|ραπύτνᾳ ἐς τὸ ἀρχεῖον καὶ ἐν ἐκκλησίᾳ καθή-
σθω μετὰ | τῶν κόσμων. Ἐν δὲ τοῖς ἡρῳϊκ[οῖ]ς καὶ ἐν ταῖς
ἄλλαις ἑορταῖς | οἱ παρατυγχανόντες ἐρπόντων παρ' ἀλλά-
λος ἐς ἀνδρήϊ|ον καθὼς καὶ οἱ ἄλλοι πολῖται. Ἀναγινωσκόν-
των δὲ τὰν ‖ [27]στάλαν κατ' ἐνιαυτὸν οἱ τόκ' ἀεὶ κοσμόντες παρ'
ἑκατέ|[28]ροις ἐν τοῖς Ὑπερβωίοις καὶ προπαραγγελλόντων ἀλλά|-
[29]λοις πρὸ ἁμερᾶν δέκα, ἦ κα μέλλωντι ἀναγινώσκεν· | [30]οἱ οἱ-
οι δέ κα μὴ ἀναγνῶντι ἢ μὴ παραγγήλωντι, ἀπο|τεισάντων
οἱ αἰτίοι τούτων στατήρας ἑκατόν, οἱ μὲν ‖ Ἱεραπυτνίοι
κόσμοι τῶν Πριανσιέων τᾷ πόλει, οἱ δὲ | Πριανσιέες Ἱερα- sic
πυτνίων τᾷ πόλει. Εἰ δέ τις ἀδικοίη | τὰ συγκείμενα κοινᾷ
διαλύων ἢ κόσμος ἢ ἰδιώτας, ἐξέστω τῷ βωλομένῳ δικα-
ξάσθαι ἐπὶ τῶ κοινῶ δι|[31]καστηρίω, τίμαμα ἐπιγραψαμένος
τᾶς δίκας κατὰ τὸ ‖ ἀδίκημα, ὅ κά τις ἀδικήσῃ· καὶ εἴ κα
νικάσῃ, λαβέτω τὸ | [32]τρίτον μέρος τᾶς δίκας ὁ δικαξάμενος,
τὸ δὲ λοιπὸν ἔσ|[33]τω τᾶν πολέων. Αἰ δέ τι θεῶν βωλομένων
ἕλοιμεν ἀγα|[34]θὸν ἀπὸ τῶν πολεμίων ἢ κοινᾷ ἐξοδουσάντες ἢ
ἰδίᾳ τι|[35]νὲς παρ' ἑκατέρων ἢ κατὰ γᾶν ἢ κατὰ θάλασσαν,
λαν|[36]χανόντων ἑκατέροι κατὰ τὸς ἄνδρας τὸς ἑρπόντας | [37]καὶ
τὰς δεκάτας λαμβανόντων ἑκατέροι ἐς τὰν ἰδίαν πόλιν.
Ὑπὲρ δὲ τῶν προγεγονότων παρ' ἑκατέροις | [38]ἀδικημάτων,
ἀφ' ὧ τὸ κοινοδίκιον ἀπέλιπε χρόνω, ποιη|[39]σάσθων τὰν διεξ-
αγωγὰν οἱ σὺν Ἐνίπαντι καὶ Νέωνι κόσ|μοι ἐν ᾧ κα κοινᾷ
δόξῃ δικαστηρίω ἀμφοτέραις ταῖς πό|λεσι ἐπ' αὐτῶν κοσμόν- sic

deposit for exportation. ὑπεκτίθεσθαι subducium et subtrahere aliquid in fraudem. ὑπεκθεσις merces et res omnes quae in alienas urbes emporio deportandae ea condicione ut earum exportatarum
25. duly ὁ τὸ δικαίου only case any ὑπαγωγή. an oath in city where they are deposited
27 si pascat in altera civitate usurpare. ἐπιτροπία συνήγορεία si quis vero pascenti pecudes rapiat
29 πορήιον = ἐφόδιον or μεσόδιον. πρεσβ. πορ. = legatina viatici = legalia quae sunt pro viatico subj. of ἔχῃ is(πις). the state to which an embassy came from another state pays its expenses
32 ἐπίδαμος citizen: state of which K. did not give proper travelling expenses
33 ὁ K. quicunque venerit eorum
Festival unknown
. δέκα ἡμέρας πρότερον ἢ accus. to B. who needs it
ἐπιγραφαμένος usual annual. often = prosecutor
We expect καταδίκας damages
of δύο δεῖν Polyb.
the κοινὸν δίκαιον also was known in 185 B.C. (Polyb. 23.15). But perhaps comes to exist temporarily sometime previously. Once at Rhodes has a "foreign" council state, where cases of these states tried
δικαστήριον usual. Polyb. = common tribunal

4. [πρόδικος = Δίκη τὸ δικάζειν διάγραμμα = register of cases for trial] But not as here.
πρόδ = arbiter. Διάγ. = 'order of judgments' = 'register'

5. cf τὸ Κοινὸν δ. l. 48

6. στασιάσωσι stabilire in negotio huc et pertrahatur res communibus civitatis illis, quodammodo ut πόλεις ἐκκλῆτοι

: ἐπικαίτηρον ex qua complectantur additiones iudicum. The civil law might (in contain judges from one city (the judge 'chantry') other's come from elsewhere (as at Athens the court εἰσὶ Ἡλιαστῶν made up of Argives Athenians) B. Hermes II

ζο συμφ. pactum circa τὸ διδόναι καὶ λαμβάνειν τὰ δίκαια

6 ἐνεστακότες committing ignorance arrive. But cf ὁ ἐνεστὼς μήν = next

δίκαιον. Lawful claim Thuc

ἀρχήιον dim. ἀρχή C.I.G. 5235. here "from beginning" as Stob. I p. 420

των, καὶ τὸς ἐγγύος καταστασάν|των ὑπὲρ τούτων, ἀφ' ἃς κα ἁμέρας ἁ στάλα τεθῆ ἐμ μη|νί· ὑπὲρ δὲ τῶν ὕστερον ἐγγινομένων ἀδικημάτων προ|δίκῳ μὲν χρήσθων, καθὼς τὸ διάγραμμα ἔχει· περὶ δὲ τῶ || δικαστηρίω οἱ ἐπισταμένοι κατ' ἐνιαυτὸν παρ' ἑκατέροις | κόσμοι πόλιν στανυέσθων, ἃγ κα ἀμφοτέραις ταῖς πόλεσ[ι | δό]ξῃ, ἐξ ἃς τὸ ἐπικριτήριον τελέται, καὶ ἐγγύος καθιστάν|των, ἀφ' ἃς κα ἁμέρας ἐπιστᾶντι ἐπὶ τὸ ἀρχεῖον ἐν δι|μήνῳ, | καὶ διεξαγόντων ταῦτα ἐπ' αὐτῶν κοσμόντων κατὰ τὸ || δοχθὲν κοινᾷ σύμβολον. Αἰ δέ κα μὴ ποιήσωντι οἱ κόσμοι κα|θὼς γεγράπται, ἀποτεισάτω ἕκαστος αὐτῶν στατήρας | πεντήκοντα, οἱ μὲν Ἱεραπυτνίοι κόσμοι Πριανσίων τᾷ πόλει, | οἱ δὲ Πριανσίοι κόσμοι Ἱεραπυτνίων τᾷ πόλει. Αἰ δέ τί κα | δόξῃ ἀμφοτέραις ταῖς πόλεσι βωλουομέναις ἐπὶ τῷ || κοινᾷ συμφέροντι διορθωσάσθαι, κύριον ἔστω τὸ διορ|θωθέν. Στασάντων δὲ τὰς στάλας οἱ ἐνεστακότες ἑ[κατέρᾳ κόσμοι ἐπ' αὐτῶν κοσμόντων, οἱ μὲν sic Ἱεραπυ|τνίοι ἐν τῷ ἱερῷ τὰς Ἀθαναίας τᾶς Πολιάδος καὶ οἱ | Πριανσίοι ἐν τῷ ἱερῷ τᾶς Ἀθαναίας τᾶς Πολιάδος· | ὁποτέροι δέ κα μὴ στάσωντι καθὼς γεγράπται, ἀπο|τεισάντων τὰ αὐτὰ πρόστιμα καθὼς καὶ περὶ τῶν | δικαίων γεγράπται.

CIG. 2556. — Foedus inter Hierapytnios et Priansios factum, a Boeckhio exeunti seculo a. Chr. tertio tribuitur. Utrum hoc exemplar Hierapytnae an Priansi positum fuerit, diiudicari non potest. Dialectus nonnulla habet e sermone volgari immixta.

12 ΓΡΙΑΝΣΙΟΥΣ. — 22 ἀτέλε(ι)α: cf. Ahrens Dial. II 188. — 24 ΑΓΟΔΟΤΑΙ. — 31 παρισχαίεν: οι pro αι postulat Ahrens Dial. II 341 sq. — 67 τελέται: cf. Ahrens l. l. 201 sq.

---

120 Titulus repertus Deli in templo Apollinis.

Ἀγαθᾷ τύχᾳ. Πρειγευσάντων Κνωσίων τὰς πόλιος ἐπὶ τὰς πό|λεις τάν τε τῶν Λατίων καὶ τῶν Ὀλοντίων καὶ παρκαλεσάν|των δόμεν αὐτοῖς ἐξ ἀρχιδίων τὰν ἐπιτροπὰν περὶ ὧν | καὶ πρὸ τῶ, ἔδοξε Λατίοις καὶ Ὀλοντίοις κοινᾷ βωλευσαμένοις, ἐπὶ κόσμων Κνωσοῖ μὲν τῶν σὺν Νενναίωι τῶ | Μοψείω μηνὸς Σπερμίω δευτέρᾳ, Λατοῖ δὲ ἐπὶ τῶν σὺν Διο|κλεῖ τῶ Ἡρῴδα μηνὸς Θιοδαισίω δευτέρᾳ, ἐν δὲ Ὀλόντι |

τῶν σὺν Μενοντίδᾳ τῷ Ἀκάσσονος μηνὸς Ἐλευσυνίω | δευτέρᾳ,
δόμεν τὰν ἐπιτροπὰν Λατίος καὶ Ὑλοντίος || τᾷ τῶν Κνωσίων
πόλι περὶ τῶν ἀμφιλλεγομένων αὐτοῖς | πόλι πορτὶ πόλιν
πάντα περὶ πάντων· καὶ θέμεν στάλαν ἐ|ν ἀμέραις τριά-
κοντα. Κνωσοῖ μὲν ἐν τῷ ἱαρῷ τῶ Ἀπόλλωνος | τῶ Δελφιδίω
καὶ ἐν τῷ ἱαρῷ τῶ ὄεραι, Λατοῖ δὲ ἐν τῷ τᾶς Ἐλευ|θυίας,
ἐν δὲ Ὑλόντι ἐν τῷ ἱαρῷ τῶ Ζηνὸς τῶ Ταλλαίω, ἄλλαν |
δὲ κοινᾷ ἐν Δάλῳ ἐν τῷ ἱαρῷ τῶ Ἀπόλλωνος· ὑπὲρ δὲ τῶ|δε τῶ
τιθεμένω ἐγγρόφω ἐς Δᾶλον ἀποστηλάντων οἵ τε | Κνωσίοι
καὶ οἱ Λατίοι καὶ οἱ Ὑλοντίοι πορτὶ τὸν ἐπιμελη|τὰν πρειγείαν
καὶ γράμματα ἐν ἀμέραις τριάκοντα, ὥστε στά||σα|ι στάλαν
ἐς ἂν ἀναγραφησ|εῖ] τὰ δεδογμένα· καὶ ταῦτα ἔσ|τω κύρια.
Κρινόντων δὲ οἱ Κνωσίοι ἐν ἐξαμήνῳ, ἄρχοντος | μηνὸς
Καρωνίω τῶ ἐπὶ Νενναίῳ, ὡς δὲ Λατίοι ἄγοντι, μηνὸς
.αρ.ωβιαρίω, ὡς δὲ Ὑλοντίοι ἄγοντι, μηνὸς Δελφινίω, καὶ
κυ|ρίοι ἔντων οἱ Κνωσίοι ἀνγραφόντ[ε]ς τὸ γενόμενον κρίμα
ἐμ μὲν | ταῖς ἐν Κρήτᾳ στάλαις ἐν ἀμέραις τριάκοντα, ἐς
δὲ Δᾶλον ἐξαποστηλάντων ἐν ταῖς αὐταῖς ἀμέραις· εἰ δέ κα
παργενήται | ὁ πρειγευτὰς ὁ ἀπεσταλμένος [ὑ]πὸ τῶν Κνωσίων
ἐς Δᾶλον, | κύριος ἔστω ἀγγράφων ἐς τὰν αὐτὰν στάλαν τὸ
κρίμα· τὰ δὲ | κριθέντα καὶ ἀγγραφέντα ὑπὸ τῶν Κνωσίων
βέβαια καὶ κύρια | ἦμεν ἐς τὸν πάντα χρόνον, καὶ μηκέτι
ὑπολειπέσθαι αὐτοῖς || περὶ μηθενὸς ἔνκλημα μηθὲν παρευρέ-
σει μηδεμιᾷ. Δόντων δὲ | Λατίοι καὶ Ὑλοντίοι τούτω τῶ
ἐγγρόφω ἑκατέροι χέρα τᾷ τῶν Κνω|σίων πόλι καὶ αὐτοσαυ-
τοῖς. Ἔγγυος δὲ καταστασάντων ἐν ἀμέ|ραις εἴκοσι Κνωσίος
διὰ τῶ Κνωσοῖ χρεωφυλακίω ὑπὲρ τούτω τῶ ἐγ|γρόφω, οἵ
τε Λατίοι καὶ οἱ Ὑλοντίοι τοῖς Κνωσίοις ἑκατέροι ἀργυρίω
Ἀ|λεξανδρείων ταλάντων δέκα, [ἐφ ᾧ]ι ἐμμενίοντι ἐν τούτω
τῶ ἐγγρόφω | καὶ ἐν τοῖς κριθένσι ὑπὸ τᾶς πόλε[ο]ς. Ὁποτέροι δὲ μὴ ἐμμενοίεν, τὰν | πρᾶξιν ἦμεν ἐκ τῶν ἐγγύων,
καὶ οἱ τῶν Κνωσίων κόσμοι πραξάν|τες ἀποδόντων τοῖς ἐμ-
μένον[σ]ι, καὶ πάντως ἔστω τὰ κριθέντα | κύρια. Ἔντων δὲ
οἱ ἐγγύοι, μέστα κα ἁ κρίσις ἐπιτελεσθῇ καὶ ἀγγρα|φῇ, καθ-
ὼς προγεγράπται. Εἰ δέ τί κα δόξῃ ὕστερον ταῖς πόλεσι
Κνω|σίοις καὶ Λατίοις καὶ Ὑλοντίοις ἢ πορτιγράψαι ἢ ἀφελέν,
ταῦτα | ἔστω κύρια. |

Ἀγαθᾷ τύχᾳ. Ἐπὶ Σαραπίωνος ἄρχοντος, μηνὸς Πυα-
νοψι|ῶνος, ὁ παραγενόμενος πρεσβευτὰς παρὰ τᾶς πόλεος ||

l'arbitrage de tous les litiges pendants entre eux de ville à ville, absolument et en toutes choses

14 Dei - reposition from locative, decree - Pub. 26. frag. 5 ... 2 ... C.I.G. 2534 (κοινὸν τῶν ναυκλήρων) 2272 (Keos), 3067 (Διονύσου τοῦ ἐν τῷ Διός) - Foundat Delos 2265 (from actia

29 et dorénavant on renoncera à tout grief quelconque, en manière quelconque, sous un prétexte quelconque.

—

33 par l'entremise du Dépôt des créances qui est à Cnosse

39 μέσσα Τεγέα. πρὸς μέσσα. μέσσῃ

12. C. Verrem, ensuant le conseil demandé par les arbitres.

Suet 2201. C. Iul Caesar planned to slay city chief officer

Ἄνδρες ὄνομα κύριον καὶ πόλις Suidas. Or a family name?

In Cnossus the ἀγέλαι were bands formed of youths who entered at 17 and remained till marriage. At Sparta they entered at 7. The chief was ἀγελάτης, the youths ἀγέλαοι (Hesych) and Βοῦα. ἀγελαῖος from ἀγέλη, ἀγεληδόν, ἀγελάζω

Cf. Horace's Odi profanum vulgus et arceo Bk. V. 7. 17

τὰς Κνωσίων Ἀγησίπολις Ἀγαθάνδρω ποτανέγραψε | τὸ ὑποτεταγμένον ψάφισμα συνευ*δοκιόντων | καὶ τῶν παραγενομένων πρεσβευτᾶν, παρὰ μὲν τᾶς | Λατίων πόλεος Ἀρισστάνδρω τῶ Γλαυκία, παρὰ δὲ | τᾶς Ὑλοντίων πόλεος Ἰκαδίωνος τῶ Ἀρχικώμω, κατὰ τὰ ἀποδοθέντα ποτὶ τὸν ἐπιμελητὰν παρὰ τᾶν πολέων γράμματα· | Ἔδοξε Λατίοις καὶ Ὑλοντίοις κοινᾷ βωλευσαμένοις συν|ευδοκησάντων καὶ Κνωσίων· ἀμβαλέν, ὑπερθεμένοις | κατὰ τὰν ἐπιτροπάν, τὸν προ(γε)γραμμένον χρόνον ἐν τᾷ | στάλᾳ τὸν ἐπὶ Νενναίω* Κνωσοῖ κόσμω καὶ Διοκλεῖος Λα|τίω καὶ Μενοντίδα Ὑλοντίω· ἐγγράψαι δὲ ὥστε κυρίος ἦμεν | κρινόντας Κνωσίος ἐν μησὶν δέκα δύο, ἄρχοντος μηνὸς Νε|κυσίω ἐπὶ Ἀγήμονος Κνωσοῖ κόσμω, Λατοῖ δὲ ἐπὶ τῶν σὺν Κυ|δάννῳ τῷ Ἐνίπαντος μηνὸς Θεσμοφορίω, ἐν δὲ Ὑλόντι ἐπὶ | τῶν σὺν Ἀντικλεῖ τῷ Εὐβώλω* μηνὸς Ἀπελλαίω. || Δόντων δὲ Λατίοι καὶ Ὑλοντίοι τούτω τῶ ἐνγρόφω ἑκατέροι χέρα τᾷ τῶν Κνωσίων πόλει καὶ αὐτοσαυτοῖς.

Homolle, Bull. Corr. Hell. III (1879) p. 292 sqq. (= tab. VI bis). — Annum Sarapionis archontis (v. 43) fine secundi a. Chr. seculi non multo superiorem esse putat Koehler ad IGA. II 465.

3 ΑΡΧΙΔΙΟΝ. — 5 ΝΕΝΝΑΙΩΝ. — 13 Δελφιδίω: cf. n. 132, 46. — ΔΕΡΑΙ: obscurum. — 15 sq. ΤΟΥΔΕ. — 19 ἀναγραφησ[εῖ]: supplevit Blass Rhein. Mus. 36 (1881) p. 612. — 23 ΑΝΓΡΑΦΟΝΤ·Ν. — 39 Η. — 46 Ε litera deleta. — 51 ΒΟΥΛΕΥΣΑΜΕΝΟΙΣ. — 54 Ι litera deleta. — 59 Ι litera deleta.

---

121 [= 38] Lapis repertus a. 1854 in Creta prope Heracleum, nunc Constantinopoli in museo Turcico ecclesiae S. Irenae.

A

Θεός: Τύχα. |

Ἀγαθᾷ τύχᾳ. | Ἐπὶ τῶν Αἰθαλέ|ων κοσμιόντων || τῶν σὺγ Κυίᾳ καὶ | Κεφάλῳ πυρωπιωι [Β]ισιῶνος, | γραμματέος | δὲ Φιλίππου, τάδε ὠμόσαν | ἀγελάοι πάν(τες) | ἀζώστοι ἑκα|τὸν ὀγδοή|κοντα· Ὀμνύω || τὰν Ἑστίαν τὰν | ἐμ πρυτανείῳ | καὶ τὸν Δῆνα τὸν | Ἀγοραῖον καὶ τὸν Δῆ|να τὸν Ταλλαῖον || καὶ τὸν Ἀπέλλωνα | τὸν Δελφίνιον καὶ | τὰν Ἀθαναίαν

τὰν | Πολιοῦχον καὶ τὸν | Ἀπέλλωνα τὸν Ποί-
τιον ‖ καὶ τὰν Λατοῦν καὶ τὰν | Ἄρτεμιν καὶ
τὸν Ἄρεα | καὶ τὰν Ἀφροδίταν καὶ | τὸν Ἑρ-
μᾶν καὶ τὸν Ἅλιον | καὶ τὰν Βριτόμαρτιν ‖ καὶ
τὸμ Φοίνικα καὶ τὰν | Ἀμφιώναν καὶ τὰγ
Γᾶν | καὶ τὸν Οὐρανὸν καὶ | ἡρώας καὶ ἡρωάσ-
σας | καὶ κράνας καὶ ποτα‖μοὺς καὶ θεοὺς
πάντας | καὶ πάσας· μὴ μὰν ἐγώ | ποκα τοῖς
Λυττίοις | καλῶς φρονησεῖν | μήτε τέχνᾳ μήτε
μα‖χανᾷ μήτε ἐν νυκτὶ | μήτε πεδ' ἀμέραν
καὶ | σπευσίω, ὅτι κα δυνάμαι, | κακὸν τᾷ
B πόλει τᾷ τῶν | Λυττίων. ‖ Δίκαν δὲ καὶ π..
..|ων μηθένε..... | ἦμεν καὶ το..... | φι-
λοδρήριος καὶ ‖ φιλοκνώσιος, | καὶ μήτε τὰμ
πό|λιν προδωσεῖν | τὰν τῶν Δρηρίων | μήτε
οὔρεια τὰ ‖ τῶν Δρηρίων | μηδὲ τὰ τῶγ Κνω|-
σίων, μηδὲ ἄν|δρας τοῖς πο|λεμίοις προδω‖σεῖν
μήτε Δρη|ρίους μήτε Κνω|σίους· μηδὲ στά|-
σιος ἀρξεῖν, καὶ | τῷ στασίζοντι ‖ ἀντίος τε-
λόμαι· | μηδὲ συνωμοσί|ας συναξεῖν | μήτε ἐμ
πόλει | μήτε ἔξοι τᾶς ‖ πολέως, μήτε | ἄλλῳ
συντελέ|σθαι· εἰ δέ τινάς | κα πυθώμαι συ|ν-
ομνυόντας, ‖ ἐξαγγελίω τοῦ | κόσμου τοῖς
πλί|ασιν. Εἰ δὲ τάδε | μὴ κατέχοιμι, | τούς
τέ μοι θεούς, ‖ τοὺς ὤμοσα, ἐμ|μανίας ἦμεν |
πάντας τε καὶ πά|σας, καὶ κακίστῳ | ὀλέθρῳ
ἐξολλύ‖σθαι αὐτός τε | καὶ χρήϊα τἀμά, | καὶ
C μήτε μοι γᾶν | καρπὸν φέρειν ‖ [μήτε γυναί-
κας | τίκτειν κα]τὰ φύ[σιν]... | ....μ...τα· |
[εὐορκέον]τι δέ μοι ‖ [τοὺς] θεούς, τοὺς | [ὤμοσα],
ἱλέους ἦμεν | [καὶ πολ]λὰ κἀγαθὰ | [διδό]μεν.
— Ὀμνύω δὲ | τὸς αὐτὸς θεούς· ‖ ἢ μὰν ἐγὼ
τὸγ κόσ|μον, αἴ κα μὴ ἐξορ|κίξωντι τὰν ἀγε|-
λᾶν τοὺς τόκα ἐ[γ]‖γινομένους τὸν ‖ αὐτὸν ὅρ-
κον, τόν | περ ἁμὲς ὁμωμό|καμες, ἐμβαλεῖν |
ἐς τὰν βωλάν, αἴ | κα ἀποστᾶντι, ‖ τοῦ μηνὸς
τοῦ Κο|μνοκαρίου ἢ τοῦ | Ἁλιαίου· ἁ δὲ
βωλὰ | πραξάντων ἕκα|στον τὸν κοσμί‖οντα
στατῆρας | πεντακοσίους, | ἀφ' ἃς κα ἐμβαλῇ |

6 Φοίνικι τῷ πατρὶ Ἐμπορίᾳ

4. Ψ 144 Σπερχεί', ἄλλως σοί γε πατὴρ — ἰδοί σε κόμην κειρέμεν ῥέξειν θ'
ἱερὴν ἑκατόμβην

19 = στατίζουσι : cf. πολίζω, ὑβρίζω, προφατίζομαι. Ἀφορθα κἀδαδίζ
ἀϋδαδιάζω. Lobeck Rhem. 229

1 . . . Ψ 2 5 5 4

ἁμέρας, ἐν τριμήνῳ. | Αἱ δὲ λισσὸς εἴη*, ‖
ἀγγραψάντων | ἐς Δελφίνιον, | ὅσσα κα μὴ
πρά|ξωντι χρήματα, | τοὔνομα ἐπὶ πατρὸς ‖ καὶ
τὸ πλῆθος τοῦ ἀρ|γυρίου ἐξονομαινόν|τες· ὅτι
δέ κα πράξων|τι, ταῖς ἑταιρείαισιν | δασσα-
σθώσαν ταῖς ‖ ἐμ πόλει, καὶ αἴ πεί | τινες
D οὐρεύωντι Δρηρίοι. ‖ [Α]ἰ δ[ὲ] μὴ πρα[ξαί]ε[ν]
ἁ βωλά, αὐτὰ | τὰ διπλόα ἀ[ποτει]|σάντων,
πρα[ξάν]|των δὲ οἱ ἐφεύται | οἱ τῶν ἀνθρωπί-
νων, | καὶ δασσασθώσαν | ταῖς ἑταιρείαισιν |
κατὰ ταὐτά. ‖

Τάδε ὑπομνάμα|τα τᾶς Δρηρίας χώρας | τᾶς
ἀρχαίας τοῖς | ἐπιγινομένοις ἀζώ|στοις, τόν τε
ὅρ|κον ὀμνύμεν | καὶ κατέχειν. | Καὶ οἱ Μι-
λατίοι | ἐπεβωλεύσαν | ἐν τᾷ νέᾳ νε|ομηνίᾳ
τᾷ πό|λει τᾷ τῶν Δρη|ρίων ἕνεκα τᾶς | χώρας
τᾶς ἁ|μᾶς, τᾶς ἀμφι|μαχόμεθα. | Νικατήρ(ια) |
τᾶς ἀγέλας | καὶ ἐλαίαν ἕ|καστον φυτεύ|ειν
καὶ τεθραμ|μέναν ἀποδεί|ξαι· ὃς δέ κα μὴ |
φυτεύσει, ἀπο|τεισεῖ στα|τήρας πεν|τήκοντα.

Post alios ediderunt Vischer Rhein. Mus. X (1856) p. 393 sqq. (= Kleine Schriften II p. 104 sqq.) et Dethier, Sitzungsber. Acad. zu Wien XXX (1859) p. 431 sqq. —

Sunt quatuor columnae quatuor lateribus pilae mormoreae incisae. Continent foedus Dreriorum quorum civitas alioquin ignota est et Cnosiorum contra Lyctios factum, quod exeunte seculo a. Chr. tertio ictum esse veri simile est. Hoc autem exemplar Dreri, non Cnosi positum fuisse putandum est.

A 1 inter Θεός et Τύχα scriptum fuisse videtur **EI**, quod explicare conatus est Dethier. — 6 sq. πυρωι|πιωι: obscura. — Β]ισιῶνος: nomen mensis. — 29 **ΒΡΙΤΟΜΑΡΓΙΝ** Dethier. — *B* 9 **ΟΥΡΚΙΑ**: Dethier οὔρκια vel οὔρεια putat esse »praesidia«; Vischer legit οὖρια; cf. οὐρεύωντι *C* 41. — 31 sq. πλί|ασιν: »maiori numero«. — *C* 8 **ΜΕΝ** deest apud Dethierum. — 9 τὸς αὐτός: lapicidam errore scripsisse pro το(ὐ)ς αὐτο(ύ)ς putat Helbig, De dial. Cretica (Plauen 1873) p. 32. — 13 sq. **ΕΓΓΑΥΟΜΕΝΟΥΣ**; in fine v. 13 **Γ** deest apud Dethierum. — 27 ἐμβαλῇ: aor. sec. pass.? In apographo, quo Vischer utebatur, erat

ΕΜΙΑΔΗΙ. — 29 λισσός: cf. Hesych. λισσούς· δεομένους. — ΕΙΗΙ Dethier; εἴη τ[ις] coni. Helbig l. l. 43. — 32 sq. ΠΡΑ|ΞΟΝΤΙ. — 37 sq. ΠΡΑΞΟΝΤΙ. — 41 ΤΙΝΕΝ. — οὐρεύωντι: »in praesidio versentur«? — *D* 1 ·ΙΑ· — 49 sq. ΝΕ|ΜΟΝΗΙΑΙ. — 32 init. ΣΑΙ.

3. Decreta de asylo Teio.

Prope oppidum quod nunc est Sigazik reperta sunt non pauca decreta aliarum civitatum, quibus asylum Bacchi, quod Tei erat, confirmatur. Pleraque horum decretorum profecta sunt ex oppidis Cretensibus. Ea responsa sunt ad duas legationes Teiorum, quarum alteri Apollodotus et Colotas alteri Herodotus et Menecles praefuerunt. Apollodotum et Colotam anno 193 a. Chr. in oppida Cretensia missos esse veri simile est, quia decretum Romanorum CIG. 3045 ipsum quoque asylum Teium confirmans hoc anno factum est. Herodotus autem et Menecles triginta aut etiam pluribus annis post missi esse putandi sunt, quia in nonnullis decretis commemoratur τὸ δόγμα τὸ γραφὲν ὑπὸ τῶν προγόνων (Le Bas III n. 76) vel similiter dictum; complura enim oppida eum eo anno, quo Herodotus et Menecles legati venerant, prius decretum renovarent, illud his verbis commemoraverunt. Bina decreta exstant Cnosiorum, Apteraeorum, Bianniorum, Arcadum.

Apographa, quibus Boeckhius in his titulis edendis usus est, parum accurate facta erant. Itaque multa et emendaverunt et suppleverunt Le Bas Voy. arch. III n. 60 sqq. et Waddington, Explic. des Inscr., vol. III p. 28 sqq.; complura etiam decreta antea non descripta addiderunt. At etiam in exemplaribus, quae Le Bas proposuit, non pauca sunt, quae per errorem irrepsisse videantur; quod mirari non possumus, quoniam decreta Dorica dialecto conscripta per lapicidas Teios Ionico sermone assuetos lapidi incisa sunt. Hi igitur η pro α longa non semel posuerunt et alia similiter per neglegentiam mutaverunt.

122 [= 52].

Ϝαξίων. |

Ἔδοξεν Ϝαξίων τοῖς κόσμοις καὶ τᾷ πόλει ψαφιξαμένοις | κατὰ τὸν νόμον· ἐπειδὴ Τηΐοι διὰ προγόνων φίλοι καὶ συγ|γε-

3. error ? engraver. Meyer³ p. 192. Curtius Gr. Et. 5th ed. a more obscure a.

15. Imm. δάμεν. Heracl. κατεδικάσθεν. Delph δι.ελέγεν; ἔ-ηντ.

20 ἀναδείκνυντι confusion of forms ? pl. Ahrens ella, βίβαντι Lac. epigram

7. Boeckh wonders to what δι ελέγεν: but - ην due to influence ? other forms ? -η - Delph. ἀπελύθην, Kos ἐστεφανώθην; Δι46 μιάνθην

164.1.

νεῖς ὑπαρχόντε[ς] τᾶς ἁμᾶς πόλεος ἀπεστείλαν ψά‖φισμα καὶ πρειγευτάς, Ἀπολλόδοτον καὶ Κωλώταν, | οἳ καὶ ἐπελθόντες ἐπὶ τὰν ἐκκλησίαν καὶ τὸ ψάφισμα | ἀποδόντες διελέγεν πεδὰ πάνσας σπουδᾶς καὶ φι|λοτιμίας περὶ τῶ * γενέσθαι τὰν καθιέρωσιν τῷ Διονύ|σῳ τᾶς τε πόλεος αὐτῶν καὶ τᾶς χώ- ρας καὶ τὰν ἀσυ‖λίαν, τά τε ἄλλα τὰ ὑπάρχοντα αὐτοῖς ἔν- δοξα καὶ τίμι|α διαφυλάδ[δ]εν καὶ συνεπαύξεν ἐς τὸν ἀεὶ χρό- νον, περ[ὶ] | δὲ τῶν αὐτῶν διαλεγέντος καὶ Περδίκκα τῶ παρὰ τῶ βα|σιλέως Φιλίππω πρειγευτᾶ· δεδόχθαι Ϝαυξίων τοῖς | κόσμοις καὶ τᾷ πόλει, ἐπαινέσαι μὲν τὸν(ς) πρειγευτάν(ς), ‖ διότι καλῶς καὶ συμφερόντως διελέγεν περὶ τᾶς οἰκειότατος | τᾶς ὑπαρχόνσας αὐτοῖς πορτ' ἀμὲ καὶ τῶν λοιπῶν ἐνδό|ξων καὶ τιμίων, ἀποκρινάσθαι δέ, ὅτι ὁ δᾶμος ὁ Ϝαυξίων δια|φυ- λάδ(δ)ων τὰν πορτὶ τὸ θεῖον εὐσέβειαν καὶ τᾷ πόλει τῶν | Τηΐων εὐχαριστεῖν βωλόμενος τάν τε καθιέρωσιν τῷ Δι‖ονύ- σῳ τᾶς τε πόλεος τῶν Τηΐων καὶ τᾶς χώρας ἀναδεί|κνυντι καὶ παρδεχέται ἱερὰν καὶ ἄσυλον, καθότι παρκα|λεῖ ὁ δᾶμος ὁ Τηΐων· ὑπαρξεῖ δὲ καὶ τἄλλα τίμια | Τηΐοις πὰρ τᾷ πόλει τῶν Ϝαυξίων νῦν τε καὶ αἰεί. | Ἔρρωσθε.

CIG. 3050. Le Bas Voy. arch. III n. 65 (= Explic. p. 31).

8 I litera deleta. — 17 ΔΙΟΤΙ. — 20 sq. ἀναδείκνυντι: cf. Ahrens Dial. II 342.

---

123 [= 55].

Ἰστρωνίων.

Ἔδοξεν Ἰστρωνίων τοῖς κόσμοις καὶ τᾷ πόλει· ἐπει|δὴ Τηΐοι φίλοι καὶ συγγενεῖς ὑπαρχόντες διὰ προ|γόνων τᾷ πόλει ψά- φισμα καὶ πρεσβευτὰς ἀπε‖στάλκαν, Ἀπολλόδοτον καὶ Κω- λώταν, οἳ ἐπελθόν[τ]ες ἐπὶ τὸ κοινὸν τὸ Ἰστρωνίων τό τε ψάφισμα ἀπε|δώκαν καὶ αὐτοὶ διελέγην ἀκολούθως τοῖς γε|γραμμένοις, τὰν ἐκτενεστάταν σπουδὰν καὶ | φιλοτιμίαν ποιου- μένοι περὶ τοῦ γενέσθαι τὰν κα‖θιέρωσιν τῷ Διονύσω τᾶς τε πόλιος καὶ τᾶς χώρας | τᾶς Τηΐων καὶ τὰν ἀσυλίαν, ἔτι δὲ καὶ τἄλλα τὰ ὑπάρ|χοντα αὐτοῖς ἔνδοξα καὶ τίμια διὰ τὸν θεὸν ψαφισα|μένους καὶ αὐτοὺς συναύξειν καὶ ἀεί τινος ἀγαθοῦ | παραιτίους γινέσθαι τῷ δάμῳ, καὶ ὅτι ταῦτα ποιη‖σάντες ἀκόλουθα πραξίομεν τᾷ τε πορτὶ (τὸ) θεῖον | εὐσε-

βείᾳ καὶ τὰ μέγιστα χαριξιόμεθα τῷ δάμῳ· | περὶ δὲ τῶν αὐτῶν διαλεγέντος μετὰ πάσας σπου|δᾶς καὶ προθυμίας καὶ [τοῦ ἀποσταλέν]τος (παρὰ) βασιλέως Φι|λίππου πρεσβευτᾶ• Περδίκκα•· ἀποκρινάσθαι τῷ ‖ δάμῳ τῷ Τηΐων, ὅτι πρότερόν τε ἁ πόλις διακει|μένα φιλικῶς καὶ εὐνόως ποτὶ τὸ πλᾶθος τὸ | Τηΐων ἔν τε τοῖς ὑπεράνω χρόνοις οὐδενὸς | ἀπέστα τῶν συμφερόντων, καὶ νῦν δέ, καθό|τι παρακαλεῖ ὁ δᾶμος ὁ Τηΐων καὶ Περδίκκας ὁ ‖ πολίτας αὐτῶν, προαιρουμένοι οὖν ἐμ πᾶσιν | εὐχαριστεῖν καὶ μεμναμένοι τᾶς προυπαρχού|σας ταῖς πόλεσι συγγενείας, τάν τε καθιέρω|σιν τῷ Διονύσῳ τᾶς τε πόλιος καὶ τᾶς χώρας | ὑμῶν, ἔτι δὲ ἱερὰν καὶ ἄσυλον εἶναι, βουλομένοι ‖ χαριζέσθαι Περδίκκᾳ, δίδομεν, καὶ τὰ λοιπὰ τὰ | ὑπάρχοντα ὑμὶν ἔνδοξα καὶ τίμια συνδιαφυλα|ξίομεν ἀπροφασίστως, ἐφ' ὅσον κ' ἔωμεν δυνατοί. | Εἰ δέ τινές κα τῶν ὁρμιομένων ἐξ Ἰστρῶνος ἀδι|κήσωντί τινα Τηΐων ἢ κοινᾷ ἢ ἰδίᾳ παρὰ τὸ γραφὲν ‖ δόγμα περὶ τᾶς ἀσυλίας ὑπὸ τᾶς πόλιος τᾶς | Ἰστρωνίων, ἐξέστω τῷ παραγενομένῳ Τηΐων | ἐπιλαβέσθαι καὶ τῶν σωμάτων καὶ χρήματα εἴ | τίς κα ἄγῃ, οἱ δὲ κόσμοι οἱ τόκα ἀεὶ κοσμούντες ἐ|παναγκαζόντων ἀποδιδόμεν τοὺς ἐχόντας ‖ ἀζαμίοι ὄντες καὶ ἀνυποδίκοι. Ἀναγράψαι δὲ καὶ | τὸ δόγμα εἰς τὸ ἱερὸν τὸ τᾶς Ἀθάνας τᾶς Πολι|άδος τοὺς γραμματέας τᾶς πόλιος.

IGA. 3048. Le Bas Voy. arch. III n. 70 (= Explic. p. 35).
17 ΓΑΣΗΣ. — 19 I litera bis deleta. — 25 ΓΟΛΙΤΗΣ. — 29 εἶναι: forma Ionica; cf. p. 80. — 40 ΑΣΗΜΙΟΙ.

---

124 [= 51].

Κυδωνιατᾶν.

Κυδωνιατὰν ἁ πόλις καὶ οἱ ἀρχόντες Τηΐων τᾷ βωλ[ᾷ] | καὶ τῷ δάμῳ χαίρειν. Ἐπειδὴ [Τη]ῖοι φίλοι καὶ συγγενεῖς | ὑπαρχόντες διὰ προγόνων τᾷ πόλει ψάφισμα καὶ πρεσ‖βευτὰς ἀπεστάλκαντι Ἀπολλόδοτον καὶ Κωλώταν, οἳ | ἐπελθόντες ἐπὶ τὰν ἐκκλησίαν τό τε ψάφισμα (ἀ)πεδώ|καν καὶ αὐτοὶ διελέγην ἀκολούθως τοῖς γεγραμμένοις | τὰν ἐκτενεστάταν σπουδὰν καὶ φιλοτιμίαν ποιομέ|νοι περὶ τῶ γενέσθαι τὰν καθιάρωσιν τῷ Διονύσῳ τὰς | τε πόλιος καὶ τὰς χώρας τὰς Τηΐων καὶ τὰν ἀσυλίαν, ἔτι | δὲ καὶ τἆλλα τὰ ὑπάρχοντα αὐτοῖς

ἔνδοξα καὶ τίμια εἰς | τὸν θεὸν ψαφιξαμένος καὶ αὐτὸς συν-
αύξεν καὶ αἰεί τι|νος ἀγαθῶ παραιτίος γενέσθαι τῷ δάμῳ,
καὶ ὅτι ταῦτα | ποιησάντες ἀκόλουθα πραξόμεν τᾷ τε ‖ [συγ-
γενείᾳ καὶ τᾷ] ποτὶ τὸ θεῖον εὐσεβείᾳ καὶ τὰ μέγιστα χαρι-
[ξόμεθα τῷ] | δάμῳ· ἀποκρινάσθαι Τηΐοις φίλοις καὶ οἰκεί[οις
οὖσιν], | ὅτι τὸν Διόνυσον καὶ αὐτοὶ σεβόμεθα καὶ τὸν Τηΐω[ν
δᾶμον] | συγγενέα ὄντα ἀσπαζόμεθα καὶ ἐπαινῶμεν, δ[ι]κ[τ]ι
[κα]‖λῶς καὶ ἐνδόξως καὶ καταξίως τῶ* θεῶ* προεστάκαντι· ‖
ἕνεκα ὧν καὶ παρ' ἁμῶν τὰ καλὰ καὶ τίμια διδόται τῷ θεῷ, |
καὶ Τηΐων τάν τε πόλιν καὶ τὰν χώραν ἀνίεμεν ἱερὰν καὶ |
ἄσυλον νῦν τε καὶ εἰς τὸν ἄλλον χρόνον πάντα καὶ πει[ρα]|-
σώμεθα αἰεί τινος ἀγαθῶ παραιτίοι γινέσθαι τῷ δάμῳ | καὶ
κοινᾷ καὶ ἰδίᾳ. Εἰ κά * τινες ἄγωντι Τηΐος ἢ τὸς κατοικόν‖τας
παρ' αὐτοῖς, οἱ κόσμοι καὶ ἄλλος ὁ λῶν Κυδωνια τᾶν ἢ Τηΐων
ἀφελομένοι καὶ διδόντες τοῖς ἀδικη|μένοις κυρίοι ἐστώσαν.
Ἔρρωσθε.

Le Bas Voy. arch. III n. 64 (= Explic. p. 30). Duo primi versus editi sunt iam CIG. 3055.

19 I litera bis deleta. — 24 I litera deleta. — 25 ὁ λῶν: ὅλων Waddington apud Lebasium.

---

125 [= 59].

Λατίων τῶν πρὸς Καμάρᾳ. |

Ἔδοξεν Λατίων τοῖς κόσμοις καὶ τᾷ πόλει· ἐπει|δὴ Τηΐοι
συγγενεῖς καὶ φίλοι διὰ προγόνων ὑπαρ|χόντες ψάφισμα καὶ
πρειγευτὰς ἀπεστάλκαν Ἀ|πολλόδοτον καὶ Κωλώταν, οἱ δὲ
ἐπελθόντες ἐπὶ τὸ | κοινὸν τὸ Λατίων τό τε ψάφισμα ἀπε-
δώκαν καὶ αὐ|τοὶ διελέγεν ἀκολούθως τοῖς γεγραμμένοις τὰν |
ἐκτενεστάταν σπουδὰν καὶ φιλοτιμίαν ποιου|μένοι περὶ τῶ
γενέσθαι τὰν καθιέρωσιν τῷ Διονύ|σῳ τᾶς πόλιος καὶ τᾶς
χώρας τᾶς Τηΐων καὶ τὰν | ἀσυλίαν, ἔτι δὲ καὶ τἆλλα τὰ
ὑπάρχοντα αὐτοῖς | ἔνδοξα καὶ τίμια διὰ τὸν θεὸν ψαφισα-
μένος | καὶ αὐτὸς συναύξεν καὶ ἀεί τινος ἀγαθῶ πα|ραιτίος
γινέσθαι τῷ δάμῳ, καὶ ὅτι ταῦτα πραξάν‖τες ἀκόλουθα πρα-
ξίομεν τᾷ τε πορτὶ τὸν θεὸν | εὐσεβείᾳ τᾷ μεγίστᾳ καὶ χαρι-
ξιόμεθα τῷ δά|μῳ· περὶ δὲ τῶν αὐτῶν διαλεγέντος μετὰ
πάσας | εὐνοίας καὶ προθυμίας καὶ (τῶ) παρὰ τῶ βασιλέος

Φιλίπ|πω πρειγευτᾶ Περδίκκα· ἀποκρινάσθαι τῷ δά|μῳ τῷ Τηΐων, ὅτι πρότερον ἁ πόλις καὶ νῦν δὲ | πᾶσιν εὐχαριστεῖ, καὶ μεμναμένοι τὰν προυπάρ|χονσαν τᾷ πόλει συγγένειαν τάν τε καθιέρω|σιν τῷ Διονύσῳ τάν τε πόλιν καὶ τὰν χώραν ἦμεν | ἱερὰν καὶ ἄσυλον βωλομένοι χαριζέσθαι Περδίκ‖κᾳ δίδομεν, καὶ τὰ λοιπὰ τὰ ὑπάρχοντα ὑμὶν ἔνδο|ξα καὶ τίμια συνδιαφυλαξίομεν ἀπροφασίστως, | ἐφ' ὅσον κ' ἴωμεν δυνατοί. Καὶ εἴ τινές κα τῶν ὁρ|μιομένων Λατόθεν ἀδικήσωντί τινα Τήϊον | ἢ κοινᾷ ἢ ἰδίᾳ παρὰ τὸ γραφὲν δόγμα περὶ τᾶς ἀ‖συλίας τᾶς πόλιος καὶ τᾶς χώρας, ἐξέστω τῷ | παργενομένῳ Τηΐων ἐπιλαβομένῳ καὶ σω|μάτων καὶ χρημάτων, εἴ τίς κα ἄγῃ· οἱ δὲ κόσμοι | οἱ τόκα κοσμιόντες ἀναγκαζόντων ἀποδιδό|μεν τὸς ἐχόντας ἀζαμίοι ὄντες καὶ ἀνυποδίκοι. ‖ Γράψαι δὲ καὶ τὸ δόγμα ἐς τὸ ἱερὸν τᾶς Ἐλευθυίας.

Le Bas Voy. arch. III n. 74 (= Explic. p. 36).

4 ΓΡΕΙΓΕΥΤΑΝ. — 5 ΔΙ, cf. CIG. 3058, 5. — 16 ΧΑΡΙΣΙΟΜΕΘΑ. — 19 I litera deleta.

---

126 [= 49].

Πολυρρηνίων. |

Πολυρρηνίων οἱ κόσμοι καὶ ἁ πόλις Τηΐων τῷ δάμῳ | καὶ τᾷ βωλᾷ χαίρειν. Κομισαμένοι τὸ ψάφισμα τὸ παρ' | ὑμῶν ἀνέγνωμεν, καὶ τῶν πρεσβευτᾶν Ἀπολλοδό‖τω· καὶ Κωλώτα· διακούσαμεν παρακαλούντων μετὰ | πάνσας σπουδᾶς καὶ φιλοτιμίας ἀκολούθως τοῖς ἐν τῷ | ψαφίσματι κατακεχωρισμένοις· περὶ δὴ τούτων δεδό|χθαι Πολυρρηνίων τοῖς κόσμοις καὶ τᾷ πόλει ἀποκρινάσ|θαι Τηΐοις, διότι τὸν Διόνυσον καὶ αὐτοὶ σεβόμεθα καὶ διδό‖ται τῷ θεῷ [παρ' ἁ]μῶν τάν τε πόλιν καὶ τὰν χώραν ἀνιέμεν | ἱερὰν καὶ ἄσυλον νῦν τε καὶ εἰς τὸν ἅπαντα χρόνον· ἦμεν δὲ | καὶ [παροίκοις τ]οῖς ἐν Τέω ἀσφάλειαν καὶ κατὰ γᾶν καὶ κατὰ | [θάλασσ]αν ε[ἰς] τὸν ἅπαντα χρόνον. Ἔρρωσθε.

Le Bas Voy. arch. III n. 62 (= Explic. p. 30). Quinque primi versus iam editi sunt CIG. 3054.

5 I litera bis deleta. — 12 [παροίκοις τ]οῖς: Le Bas supplevit [πάνσι τ]οῖς; sed cf. n. 124, 24 sq. et CIG. 3049, 20.

---

o. Apollo-founder- Cyrene Pyth. V ; cf Naxos Thuc 6.3; Tauromenium
Athens ἀρχηγέτης C.I.G. 476 \ Heliopolis CIG 3906

127 [= 50].

Ῥαυκίων. |

Ἔδοξεν Ῥαυκίων τοῖς κόσμοις καὶ τᾷ πόλει· ἐπειδὴ παραγε|νομένοι πρεσβευταὶ παρὰ τῶ δάμω· τῶ Τηΐων πορτὶ Ῥω|κίονς, Ἀπολλόδοτος Ἀστυάνακτος, Κωλώτας Ἑκατωνύ-
5 μου, ‖ ἐπελθόντες ἐπὶ τὰν ἐκκλησίαν ἐνεφανίξαν τάν τε | οἰκειότατα τὰν ὑπάρχονσαν Ῥαυκίοις ποθ' αὐτὸνς | καὶ περὶ τᾶς ἀσυλίας τᾶς τε πόλεος καὶ τᾶς χώρας παρεκαλέσαν, ἔτι δὲ καὶ τῶ παρ' Ἀντιόχω τῶ βασιλέος πρει|γευτᾶ Ἀγησάν-
10 δρω παρακαλέσαντος μετὰ πάνσ·ας ‖ σπουδὰ[ς] καὶ φιλοτιμία[ς], ὁμοίως δὲ καὶ τῶν παρ' ἁμῶν | πρεισγευτᾶν ἐμφανιξάντων τὰν ὑμ[ῶ]ν εὔνοι[αν κ]αὶ | προθυμίαν· δεδόχθαι Ῥαυκίων τοῖς [κόσμοις] [καὶ τᾷ] πό|λει ἀποκρινάσθαι Τ[η]ίο[ις], ὅτι ἅ τε καθ[ιέρωσι]ς [τῷ Δι]ονύ|σῳ τᾶς πόλεος καὶ τᾶς χώρας αὐ-
15 τοῖς ἅ τε ἀσυλία καὶ ‖ τἄλλα ἔνδοξα καὶ τίμια παρ' [ἁμῶν ἔσται] | νῦν τε καὶ τὸν ἄλλον χρόνον πάντα.

CIG. 3051. Le Bas Voy. arch. III n. 63 (= Explic. p. 30).
3 I litera delcta. — 5 ΕΓΕΛΘΙΟΝΤΕΝ. — 9 ΓΑΝΣΣΑΝ.
— 10 ἁμῶν: Boekh scripsit παρὰ [Τηΐων].

---

128 [= 60].

Ἀπτεραίων. |

Ἀπτεραίων οἱ κόσμοι καὶ ἁ πόλις Τη|ΐων τᾷ βωλᾷ καὶ τῷ
5 δάμῳ χαίρειν. | Παραγενομένοι οἱ παρ' ὑμέων πρεγγευ‖ταί, Ἡρόδοτος Μηνοδότω Μενεκλῆς | Διονυσίω, τό τε ψάφισμα ἀπεδώ|καν, ἐν ᾧ ἐγράψατε ἀνανεωσάσθαι | τάν τε συγγέ-
10 νειαν καὶ τὰν πρου|πάρχωσαν φιλίαν τά τε δεδομένα ‖ τίμια ὑπὸ τᾶς ἁμᾶς πόλεως ἐν τοῖς | πρότερον χρόνοις καὶ τὰν καθιέρωσιν | τᾶς πόλιος καὶ τᾶς χώρας τῷ Διονύ|σῳ, παρεκαλεῖτε δὲ καὶ ἀναγράψαι | τὸ πρότερον δόγμα ἐν ὁποίω
15 κα κρί‖νωμεν ἱερῷ, διελέγην δὲ καὶ οἱ παρ' ὑμῶν πρεγγευταὶ ἀκολούθως τοῖς ἐν | τῷ ψαφίσματι, ἀποφαινόντες τάν | τε πόλιν εὐσεβῶς διακειμέναν | πρὸς πάντας τὸς θεός, μά-
20 λιστα δὲ ‖ πρὸς τὸν Διόνυσον ὄντα (ἀ)ρχαγέταν | τᾶς πόλεως, ᾧ καὶ καθιερώσθαι συν|βέβακε τάν τε πόλιν καὶ τὰν χώραν, | ὑπέρ τε τῶν λοιπῶν πᾶσαν σπου|δὰν καὶ φιλοτιμίαν ποτα-

γόντες δι|ελέγην· διὸ καὶ δεδόχθαι ἀποκρινάσθαι | τῷ δάμῳ τῷ Ἀπτεραίων Τηΐοις | οὖσιν συγγενέσι καὶ φίλοις, διό|τι ἔν τε τοῖς πρότερον χρόνοις τυγ|χάνομεν εὐσεβῶς διακειμένοι πο||τὶ πάντας τὸς θεός θ' ἁμῶν | καὶ τὸν Διόνυσον, δι' ὃν καὶ πρότερον τάν | τε ἀσυλίαν ὑμὶν ἐδώκαμεν καὶ καθι|ερώσαμεν τὰν χώραν καὶ τὰν πόλιν, | τετηρηκότες δὲ τὰ προδεδομένα ὑ||μὶν φιλάνθρωπα μέχρι τοῦ νῦν πειρα|ξόμεν καὶ εἰς τὸν λοιπὸν χρόνον | διαφυλάσσειν ἀνανεωσαμένοι ἃ | παρεκαλεῖτε διὰ τοῦ ψαφίσματος, καὶ | οὐκ ἀδικέομεν Τηΐος συγγενέας || καὶ φίλος ὑπαρχόντας οὔτε πολέμου | οὔτ' εἰράνας καθότι οὔτε πρότερον. | Πειραξόμεν δὲ καί, ἐάν τινες ἀδικῶν|τι Τηΐος ἢ κατὰ κοινὸν ἢ κατ' ἰδίαν ἢ κα|τὰ γᾶν ἢ κατὰ θάλασσαν ἐόντας ἰα|ρὸς καὶ ἀσύλος, βοαθεῖν αὐτοῖς καθότι | ἂν ὦμεν δυνατοί. Καὶ ἐάν τινες ὁρμι|ομένοι ἐξ Ἀπτέρας ἀδικήσωντι Τη|ΐος, εἶναι αὐτὸς ἐνόχος τῷ τᾶς ἱερο|συλίας νόμῳ. Ἀγγραψατώσαν δὲ καὶ || Τηΐοι τὰν ἀνανέωσιν ἐς τὸ ἱερὸν | τῶ Διονύσω, ὅπως φανερὰ ᾖ πᾶσι τοῖς | Ἕλλασι ἁ τῶν Ἀπτεραίων εὐσέβεια | πρὸς πάντας τὸς θεός. Ἀναγραψῶμεν | δὲ καὶ ἁμὲς τό τε πρότερον δόγμα || καὶ τὰν ἀνανέωσιν ἐς τὸ ἱερὸν τὸ | τᾶς Ἀρτέμιδος τᾶς Ἀπτέρας. Ἐκαλέσα|μεν δὲ καὶ ἐπὶ ξένια τοὺς πρεγγευτὰς | [τῶν Τηΐων ἐπὶ τὰ]ν κοινὰν ἑ[στίαν]. Ἔρρωσθε.

Le Bas Voy. arch. III n. 75 (= Explic. p. 37).

15 **ΑΝ**: quod scripsi, dubium est propter v. 6. — 30 **ΗΜΩΝ**. — 37 **ΑΝΕΝΕΩΣΑΜΕΝΟΙ**. — 48 εἶναι: forma Ionica. — **ΤΗΣ**. — 52 **ΕΛΛΗΣΙΗ**. — 54 **ΑΜΕΝ**.

---

129 [= 64].

Κνωσίων. |

Ἔδοξε Κνωσίων τοῖς κόσμοις καὶ τᾷ πόλει· ἐπει|δὴ Ἡρόδοτος Μηνοδότω καὶ Μενεκλῆς Διονυσίω | ἀποσταλθέντες πρεγγευταὶ πὰρ Τηΐων πορτὶ || τὰς ἐν Κρήτᾳ πολίας καὶ διατριψάντες τὸν πλεῖσ|τον χρόνον ἐν τᾷ ἁμᾷ πόλει οὐ μόνον τὰν ἀπὸ τᾶς | ἀναστροφᾶς εὐταξίαν ἀπεδείξαντο, ἀλλὰ καὶ ἐπε|δείξατο Μενεκλῆς μετὰ κιθάρας πλεονάκις τά τε | Τιμοθέω καὶ Πολυίδω καὶ τῶν ἁμῶν ἀρχαίων ποι|ητᾶν καλῶς καὶ ὡς προσῆκεν ἀνδρὶ πεπαιδευμέ|νῳ· ὅπᾳ ὢν ἰσᾶντι Τηΐοι,

24. προσάγω τὸν μου μοι Bonth. Thes. 859

8. Thenakles : de Ba. W. 81. 82. Καὶ διέλεγεν περὶ τῶν ἀρχῶν ἱστορίας ἀλλὰ καὶ ἑαυτοῦ
Sam M. μετὰ κ. φάρας τὰ τε Γ —— a. . . 129 . . καλῶς καὶ πρεπόντως. Συνέγκε δὲ Κύκλου διαγω
μένων ὑπὸ Κρήτας καὶ τῶν ἐν Κρήτῃ γεγονότων θείων τε καὶ ἡρώων, ποιησάμενος τὴν συναγω
γὴν ἐκ πολλῶν ποιητῶν καὶ ἱστοριογράφων? Philemon

δ δεῖνα ἴσαντι Epicharm. 26 : Thenk. XV. 64 ἴσαμι ἴσᾶμεν ἰσᾶμεναι
ἴσαις ἴσᾶτε ἴσας
ἴσατι

19. πρ. ποιεῖσθαι Demosth. 546.6. Genesaq ἔχειν show care for τινός, περὶ, ὑπέρ

7. Εἰκόνες Reinach 375.1. ἐξ χρυσῆ περ. κή D.S. 215. εἰκὼν τελεία γραπτὴ ὡ ὅπλῳ ἐπίχρυσος (περιπλ.) Mahaffy IX 33. de Rouma Eumenes and his brothers: στεφανῶσαι ἕκαστον εἰκόνι χρυσέᾳ, τὸμ μὲν βασιλέα ἐφ' ἵππου, τοὺς δὲ ἀδελφοὺς περικῇ B.C.H. X 375. εἰκόνα χρυσῆν ἐφίππον Mommsen 1880. p. 141.
(κατάχρυσος διεδοξ πρίχρυσος καὶ ἀργυρᾶ)

ὅτι ἁ πόλις ἀποδεδέκται | τὸς τοιούτος τῶν ἀνδρῶν, δεδόχθαι ἐπαινέσαι | τάν τε τῶν Τηΐων πόλιν ἐπὶ τῷ τοιούτος ἄνδρας | πέμψαι, ὁμοίως δὲ καὶ τὸς πρεγγευτάς, Ἡρόδοτον || καὶ Μενεκλῆν, ὅτι καλῶς καὶ εὐτάκτως ἐνδεδα|μήκαντι· τὸς δὲ κόσμος δόμεν ἀντίγραφον τῶδε | τῷ ψαφίσματος σφραγιξάντας τᾷ δαμοσίᾳ σφρα|γῖδι ἀποκομίσαι Ἡροδότῳ καὶ Μενεκλεῖ πρὸς Τηΐος, | ἵν' ἐπιγνῶντι καὶ αἰεί ποκα πρόνοιαν ποιῶνται τῶν || τοιούτων ἀνδρῶν.

CIG. 3053. Le Bas Voy. arch. III n. 81 (= Explic. p. 39).
5 ΔΙΑΤΡΙΨΑΝΤΕΝ.

---

4. Alii tituli Cretici.

130 Apterae in muro non antiquo.

Ἔδοξε [τᾷ] βουλᾷ καὶ τῷ δ[άμῳ· ὁ δεῖνα εἶπεν]· | ἐπειδὴ ὁ βασιλεὺς Ἄτταλος φίλος [ὑπάρχων διὰ προ]|γόνων πρόνοιαν ποήται περὶ τῶ κοιν[ῶ τῶν Κρητῶν] | καὶ ἰδίᾳ τᾶς τῶν Ἀπταραίων πόλιος καὶ τοῖς [παραγε]|νομένοις ποτ' αὐτὸν τὰμ πᾶσαν φιλανθρωπίαν ἐνδ[ει]|κνύται, δεδόχθαι τᾷ βωλᾷ καὶ τῷ δάμῳ· στεφανώσ[αι] | βασιλέα Ἄτταλον εἰκόνι χαλκέᾳ τελείᾳ, εἴτε κα [δη]|λήται πεζόν, εἴτε κα ἐφ' ἵππῳ, ᾇ κα προαιρήται· καρυ|χθῆμεν ἔν τινι τῶν ἀγώνων τῶν στεφανιτῶν· ἐπιμ[ε]|λὲς γενέσθω τοῖς κόσμοις, ὅπως καρυχθῆ· ἦμεν δὲ αὐτ[ῷ] | καὶ προεδρίαν καὶ ἀσυλίαν καὶ ἀτέλειαν καὶ ἀσφάλειαν καὶ π[ο]|λέμω καὶ εἰρήνας καὶ ἐν πόλι καὶ ἐν τοῖς λιμένοις καὶ ξενολο[γ]|ήσθαι καὶ ὁρμιζέσθαι καὶ αὐτῷ καὶ ἐκγόνοις καὶ τὰ λοιπὰ ὑ[π]|άρχειν ὅσα κα τοῖς ἄλλοις εὐεργέταις.

Haussoullier, Bull. Corr. Hell. III (1879) p. 425 sqq. n. 2 *b*. — Attalum II, qui regnavit aa. 159—138, intellegendum esse putat.

8 ΛΙΙΤΑΙ. — 12 λιμένοις, 13 sq. ὑ[π]|άρχειν: formae non Creticae.

131 Apterae, in muro non antiquo.

Ἀγαθᾷ τύχᾳ. Ἔδοξε τ[ᾷ β]ωλᾷ | καὶ τῷ δάμῳ· Κλη̣σθ[έν]ης Σώ|σω εἶπε· Ἀντίοχον καὶ Ἀγαθοκλ|ῆν Σωσιγένεος Ἱεροπο-
5 λίτας || προξένος ἦμεν αὐτὸς καὶ | ἔγγονα, ὑπάρχεν δὲ αὐ-τοῖς καὶ | ἰσοπολιτείαν καὶ γᾶς καὶ οἰκίας | ἔνκτησιν καὶ
10 ἀτέλειαν εἰσ|άγωσι καὶ ἐξάγωσι καὶ κατὰ || γᾶν καὶ κατὰ θάλασσαν καὶ ἐν | πολέμω καὶ ἐν εἰρήν̣α ἀσυλὶ καὶ | ἀσπονδί.

CIG. 2558. Haussoullier, Bull. Corr. Hell. III (1879) p. 431 n. 5. — Titulus videtur esse medii fere seculi a. Chr. n. secundi.

---

132 Deli, in muro prope templum Apollinis.

Ἔδοξε̣ν Κνωσίων τοῖς κόσμοις καὶ τᾷ πόλι. Ἐπειδὴ | Διοσ-κουρίδη̣ς Διοσκουρίδου καθ' ὑοθεσίαν δὲ Ἀσκλη̣|πιοδώρου Ταρσεὺς γραμματικὸς διὰ τὰν εὔνοιαν ἃν | ἔχει πορτὶ τὰν
5 ἁμὰν πόλιν συνταξάμενος ἐγκώ̣μιον κατὰ τῶν ποιητᾶν ὑπὲρ τῶ ἁμῶ ἔθνιος ἀπή̣στε̣λ|κε Μύρινον Διονυσίω Ἀμισηνὸν ποιη-τὰν ἐπῶν καὶ με|λῶν τὸν αὐτὸς αὐτῶ μαθητάν, διαθησιόμε-νον τὰ | πεπραγματευμένα ὑπ' αὐτῶ· ὑπὲρ ὧμ Μύρινος πα|-
10 ραγενόμενος παρ' ἁμὲ καὶ ἐπελθὼν ἐπί τε τὸς κόσμος || καὶ τὰν ἐκκλησίαν ἐμφανία κατέστασε διὰ τᾶν ἀκρο|α[σίω]ν τὰν τῶ ἀνδρὸς φιλοπονίαν τάν τε περὶ τὸ | ἐπιτάδου̣μα εὐεξίαν, ὁμοίως δὲ καὶ τὰν εὔνοιαν ἃν | ἔχει πορτὶ τὰν πόλιν, ἀνα-νεώμενος αὖτως τὰν προγο|νικὰν ἀρετάν, δι' ἐγγράφω ἐπ[έ-
15 δει]ξε, καὶ τοῦτο πε̣δὰ πλίονος σπουδᾶς καὶ φιλοτ[ιμί]ας τὸν ἀπολογισ|μὸν ποιόμενος, καθὼς ἐπέβαλλ[ε], ὑπὲρ ἰδίω παιδε[υ]τᾶ· ἐφ' ὧν καὶ τὸ πλῆθος τῶν πολιτᾶν, ἀκουσάντες | τὰ πεπραγματευμένα καὶ τὰν [ἄ]λ̣λαν αἵρεσιν τῶ ἀνδρὸς ἃν
20 ἔχων τυγχάνει εἰς τὰν ἁμὰν πόλιν, ἀπεδέ||ξατο μεγάλως· ὅπᾳ ὧν καὶ ἁ πόλις τῶν Κνωσίων | φαινήται εὐχάριστος ἰόνσα καὶ τὸς καλὸς κἀγα|θὸς τῶν ἀνδρῶν ἀποδεχομένα καὶ τιμί-ονσα | τάς τε καταξίανς χαρίτανς ἀπιδιδόνσα τοῖς | εὐεργετῆν
25 αὐτὰν προαιριομένοις καὶ φανερὰν || καθιστάνσα ἐς πάντας ἀνθρώπος, ὅσαν ἔχει διά|λαμψιν ὑπὲρ τῶν εὐνόως διακει-μένων πορ|τ' αὐτάν· δεδόχθαι τᾷ πόλι· ἐπαινέσαι Διοσκου-ρί|δην Διοσκουρίδου καθ' ὑοθεσίαν δὲ Ἀσκληπι|οδώρου ἐπὶ
30 τοῖς πεπραγματευμένοις ὑπ' αὐτῶ || καὶ τᾷ προαιρέσει ἃν ἔχων τυγχάνει ἐς τὰν | ἁμὰν πόλιν. Ἦμεν δὲ αὐτὸν καὶ πρό-

Hierapolis in Syria. Kiefer quotes as another name H. Bambyce. W.&N. of Antiochia

3. Jarecki rivalles Athens, Alexandria for number 6 ochelan Stud. XIV 673.
Zenon [illegible] T. Chrysippus. Perhaps actively and 2 nd C. A. Ist.
---

169 Tabula marmorea Teli reperta.

....θ..χας [Φιλό]ξενος Φιλοσ[τράτου] .....θα | [τ]ὰν ἐνιαυσίαν ἐπὶ δαμιοργοῦ [Βοΐ]σκου [Ἀπό]λλωνι Πυθίῳ.

A

Ἀριστόβουλος Ἀριστομένευς, | Ἱερώνυμος Ἱέρωνος, | Τίμαρχος Δαμοκράτευς, | Κλευμήδης Ἐχεδάμου, ‖ Σιμίας Σιμία, | Κλείτων Δρούθου, | Χαιρέφιλος Ἀριστογ[ένε]υς, | Κλεισίθεμις Ἀλεξιμάχου, | Νικᾶναξ Νικαγόρα, ‖ Καλλιστόδικος Σαί[νοντος].

B

Ἀριστίων Ἀριστοτίμου, | Ἀριστόξενος Ἀριστωνύμου, | Διόγειτος Φιλτοδάμου, | Ἀριστοκράτης Τιμανδρίδα, ‖ Ὀνόσανδρος Ἀριστάνδρου, | Ἀριστοδάμας Δαμοσθένευς, | Ἀν[τικ]λείδας Χαροφῶντος, | Σῖμος Βλόσωνος, | [Ἀριστό]τιμος Ἀριστ[οφ]ίλου, ‖ ..... Ἀριστοφίλου.

C

Ἀριστόδοκος Δαμοδίκου, | Ἀριστότιμος Ξενοτίμου, | Τιμοκρῆν Ξενοφῶντος, | Ἀριστανδρίδας Ἀνδρίσκου, ‖ Ἑρμοκρῆν Ἑρμαγορίδα, | Ἑρμοκρῆν Νικάνακτος, | Κλειτόμαχος Καλλιστογ[ένευς], | Ἀριστόδοκος Δαμαρχίδα, | Ἡρογείτων Δαμοκράτε[υς].

Ross, Hellen. n. 1. Ex apographo Sprattii ed. Churchill Babington, Transactions Roy. Soc. Lit., Sec. Ser. X (1874) p. 117 sq. n. 7.

B 8 Χλόσωνος Spratt. — *C* 5 Τιμαρχίδα Ross. — 9 Ηροιστων Spratt.

---

170 Teli.

[Ἔ]δοξε τῷ δάμῳ, | γνώμα πρυτανίων· | Ἀρί-
ονα Ἀριστονίκου | Πτολεμαιῆ πρόξενον ‖ ἦμεν
καὶ εὐεργέταν | τᾶς πόλιος τᾶς Τηλίων | καὶ
αὐτὸν καὶ ἐκγόνος· | ἦμεν δὲ αὐτοῖς εἴσ|-
πλουν καὶ ἔκπλουν ‖ εἰς Τῆλον ἀσυλὶ καὶ |
ἀσπονδὶ καὶ ἐμ πολέ|μῳ καὶ ἐν ἰράνᾳ· ἀνα|-
[γ]ράψαι δὲ τὸ ψάφισμα | [τό]δε ἐ[ς] στάλαν
λιθίναν, ‖ [καὶ θέ]μεν πα[ρὰ τ]ὸ ἱαρὸν|....

Ex apographo Sprattii ed. Churchill Babington, Trans. Roy. Soc. Lit. N. S. X (1874) p. 120 n. 10.

---

171 Carpathi in pila marmorea.

.....οίου Βρυκούντιος εἶπε· ἐπειδὴ Μην[ό]κρι]τος Μητροδώρου Σάμιος δεδαμοσιευ[κὼ]ς ἔτη ὑπὲρ τὰ εἴκοσι ἐκτενῶς
τε καὶ φιλο[τί]μως, θεραπεύων διατετελέκει πάντας, ‖ [κ]ατά τε τὰν ἐμπειρίαν καὶ τὰν ἄλλαν ἀνα[σ]τροφὰν ἀνέγκλητον αὐτὸν παρέσχηται, | λοιμικᾶς τε διαθέσιος γενομένας καὶ πολλῶν | εἰς τοὺς ἐσχ[ά]του[ς] κινδύνους ἐμπεσόντων | οὐ μόνον
τῶν δαμετᾶν ἀλλὰ καὶ τῶν παροικεύν[των, τὰν πᾶσαν ἐκτένειαν καὶ κακοπαθίαν | παρεχόμενος παραίτιος γεγόνει τᾶς σωτηρ[ί]ας, πρὸ τοῦ τε μισθωθήμειν διατρίβων ἐν [πόλει] | πολλοὺς τῶν δαμετᾶν ἐν ἐπικινδύν[οις] | διαθέσεσι γενομένους
ἔσωσε μ[ι]σθὸν οὐ ‖ δεξάμ]ενος εὐνόμως τε καὶ [δικ]αίως [πρὸς τὸν δε[όμεν]ον τῶν κατοικεύ[ν]των ἐν τῷ περιπολ[ίῳ | αὐτὸ]ς πορευόμενος διατετελέκει· ὅπως οὖν | [κ]αὶ ὁ δᾶμος ὁ Βρυκουντίων φαίνηται εὐχάρι[στο]ς καὶ τοὺς ἀγαθοὺς τῶν ἰατρῶν
τιμῶν, ‖ [κ]υρωθέντος τοῦδε τοῦ ψαφίσματος δεδόχθ[αι | τῶ]ι δάμῳ· Ἐπαινέσαι Μηνόκριτον Μητροδώρο[υ | Σ]άμιον καὶ στεφανῶσαι χρυσέῳ στεφάνω[ι | κα]ὶ ἀναγορεῦσαι ἐν τῷ ἀγῶνι τῶν Ἀσκλαπιεί[ω]ν, ὅτι ὁ δᾶμος ὁ Βρυκουντίων ἐπαινεῖ

Ptolemaïs in Pamphylia; another in Phoenicia

Δημόκριτος Ἀβδηρίτης ὁ καὶ Μενδήσιος ἰατρὸς καὶ φιλόσοφος Ἀβδηρίτης. Cf. ὁ Δήμιος Δημόκριτος
inventions)

Inf. ii–iii. γεγόνει Diod. Syc. 331,1 . δεδοίκως Theokr. 15,30. γεγάθει Epich. 70
δεδίκημι Theokr. 1,102. Other Dorisms-c

καὶ ‖ [σ]τεφανοῖ χρυσέῳ στεφάνῳ Μηνόκριτον | [Μ]ητροδώρου Σάμιον ἐμπειρίας ἕνεκα καὶ καλο[κἀ|γ]αθίας· ἐξέστω δὲ Μηνοκρίτῳ καὶ εἰς τὰς πανα[γ]ύρεις παραγίνεσθαι ἃς συντελοῦντι Βρυκούντι|οι· τὸ δὲ γενόμενον τέλεσμα εἰς τὸν στέφανον ‖ τελεσάτω ὁ ταμίας. Μετὰ δὲ τὰν κύρωσιν τοῦδ[ε | τ]οῦ ψαφίσματος ἐλέσθω ὁ δᾶμος παραχρῆμ[α ἕνα | ἄν]δρα, ὁ δὲ αἱρεθεὶς ἀ[γγειλ]άσθω ἐν τῶ[ι] σ[ύνπ]α[ντι | δ]άμῳ τὰν δόσιν τοῦ στεφάνου· καὶ ὥστε ἀναθέ|μειν εἰς τὸ ἱερὸν τοῦ Ποτειδᾶνος τοῦ Πορθμίου ‖ στάλαν λιθίναν καὶ ἀναγράψαι εἰς αὐτὰν τὸ | ψάφισμα καθ' ὃ τετιμάκει ὁ δᾶμος ὁ Βρυκουντίων | [Μ]ηνόκριτον Μητροδώρου Σάμιον [ἐμπειρία]ς | [ἕνεκ]εν? . . . . . .

Edidit et copiose tractavit Wescher, Rev. archéol. VIII (1863) p. 469 sqq. Repetiit A. Vercoutre medicus Rev. arch. n. s. 39 (1880) p. 347 sq. in commentario quem inscripsit »La médecine publique dans l'antiquité grecque.« — Aetatem Menocriti circa finem quarti vel initium tertii a. Chr. seculi statuendam esse putat Wescher. Exstat simile decretum Athenis in honorem Euenoris medici factum, Rang. 378 = CIA. II 187, quod Wescher affert.

12 ΜΙΣΘΟΟΘΗΜΕΙΝ. — 15 sq. [πρὸς τὸν δε|όμεν]ον: cf. in titulo Coo, Bull. Corr. Hell. V p. 201 sq. v. 11 sq.: ἀεὶ τοῖς δεομένοις παρείχετο τὰν | [τέχναν]. — 17 [αὐτό]ς: suppl. Vercoutre l. l. — 36 ΤΕΤΙΜΑΗΕΙ.

---

172 Cippus repertus in insula Rhodo.

Δαϊκράτευς | τοῦ | Καλλικράτευς | Βρυκο(υ)ντίου.

Papadopoulos-Kérameus, Bull. Corr. Hell. V (1881) p. 334 n. 9.

---

173 In insula Carpatho.

Μελάνθιος | Μενεκράτευς | Βρυκούντιος, | Ἐπαίνετος Ῥάδιος | Νισύριος, | Σωσίπολις | Ἀρχικράτευς | Βροκούντιος, | αἱρεθέντες ἱεραγ[ω|γ]οὶ ὑπὸ τοῦ σύνπαν[το]ς δάμου Ποτ[ειδᾶ|νι Πο]ρθμίω[ι].

Beaudouin, Bull. Corr. Hell. IV (1880) p. 262 n. 1. — Titulus videtur aetate Romana superior esse.

174 [= 74] In crure sinistro colossi Psampolitani.

Βασιλέος ἐλθόντος ἐς Ἐλεφαντίναν Ψαμ(μ)ατίχο(υ) | ταῦτα ἔγραψαν, τοὶ σὺν Ψαμματίχῳ τῷ Θεοκλ(ε)ος | ἔπλεον. Ἦλθον δὲ Κέρχιος κατύπερθε, (ϝ)οῖς (ϝ)ο ποταμὸς | ἀνίη. Ἀλ(λ)ογλόσ- (σ)ο(υ)ς δ' ἦχε Ποτασιμτό, Αἰγυπτίο(υ)ς δὲ Ἄμασις. ‖ Ἔγραφε δ' (ϝ)αμὲ Ἄρχον (ϝ)Αμοιβίχο(υ) καὶ Πέλεφος (ϝ)Ουδάμο(υ).

CIG. 5126. IGA. 482 *a*. Cf. Kirchhoff Alph.[3] 35. Blass Herm. 13 (1878) p. 381 sq. Wiedemann Rhein. Mus. 35 (1880) p. 364 sqq. — Psammatichum regem non primum sed secundum, qui ineunte seculo sexto regnavit, intellegendum esse veri simile est.

IX. Tituli Rhodii
cum Gelensibus et Agrigentinis.

Titulos Camirensium, Ialysiorum, Lindiorum et eos, qui ad communem civitatem Rhodiorum a. 408 a. Chr. conditam pertinent, inter se non separavi, sed, quoad fieri potuit, ex temporum ordine omnes composui. Gelam a Rhodiis et Cretibus conditam esse, Agrigentum a Gelensibus narrat Thucyd. VI 4.

1. Tituli Rhodii.

175 In vase Camiri reperto.

ϙοσμία ἠμί· ἄγε δέ με Κλιτομίας.

IGA. 473. Kirchhoff Alph.[3] 43. Aetas tituli est ea, qua literatura Ionica Rhodum occupare incipiebat, ante Ol. 47.

---

176 Camiri; nunc in museo Britannico.

Ἔδοξε Καμιρεῦσι· τὰς κτοίνας τὰς Καμιρέων τὰς | ἐν τᾷ νάσῳ καὶ τὰς ἐν τᾷ ἀπείρῳ ἀναγράψαι πάσας | καὶ ἐχθέμειν ἐς τὸ ἱερὸν τᾶς Ἀθαναίας ἐ(ν) στάλᾳ | λιθίνᾳ χωρὶς Χάλκης· ἐξήμειν δὲ καὶ Χαλκήταις ‖ ἀναγραφήμειν, αἴ κα χρήζωντι,

Öye adverit. Manuscript en presentation fra Edw Kr.

CPJ 3325.275
10. βόλιμος Epidaur. vel a lium t. plumbum obtuse. Schrader Sprachvergl. u. Urgesch. 314. illeg. 351 Ithmit βόλιβος assim. < μολίβος = μόλυβδος
Βόλιμος hamperne ὁ Le βόλιμος cani sabu l. bolognesan Rl. III. 204. 47
Neub. fr. βολίμι

= ὄκλα Ka. Pisk Idg. Eig. 15 Iouk < ὄκρα

(so Theophrast. D.H.)
16 = ἑστιατόριον Λ Philostr ha ἑστιατήριον banqueting hall. ἑστιάτωρ as Ephem = epulo, rex sacrorum Paus 1. 13. 1.

Generally mules-γίννος (L. S.) 'stunted mule' (foal of a mare by a mule)
Mss. of Aristotle have γῖννος.

λόφουρον animal with bushy tail, such as horse, ass, mule Arist H.A I. 6. 7.
L. S. take it here to mean any beast of burden'

ἑλέσθαι δὲ ἄνδρας | τρεῖς αὐτίκα μάλα, οἵτινες ἐπιμεληθησεῦντι ταύ|τας τὰς πράξιος ὡς τάχιστα καὶ ἀποδωσεῦνται | τῷ χρῄζοντι ἐλαχίστου παρασχεῖν τὰν στάλαν | καὶ τὰς κτοίνας ἀναγράψαι καὶ ἐγκολάψαι ἐν τᾷ στά‖λᾳ καὶ στᾶσαι ἐν τῷ ἱερῷ τὰς Ἀθάνας καὶ περιβολιβῶ|σαι ὡς ἔχῃ ὡς ἰσχυρότατα καὶ κάλλιστα· τὰ δὲ τε|λεύμενα ἐς ταῦτα πάντα τὸν ταμίαν παρέχειν. | Ἐγ δὲ ταυτᾶν τᾶν κτοινᾶν ἀποδεικνύειν τοὺς ‖ κτοινάτας μάστρον ἐν τῷ ἱερῷ τῷ ἁγιωτάτῳ ‖ ἐν τᾷ κτοίνᾳ κατὰ τὸν νόμον τὸν τῶν Ῥοδίων· | τοῦτοι δὲ συνλεγέσθων ἐν Καμίρῳ εἰς τὸ | ἱερὸν τᾶς Ἀθαναίας, ὅκκα τοὶ ἱεροποιοὶ παραγγ‖έλ]ωντι, καὶ ἀθρεόντω τὰ ἱερὰ τὰ Καμιρέων [τὰ δ|αμο]τελῆ πάντα αιτι....

Newton, Trans. Roy. Soc. Lit. Sec. Ser. XI (1878) p. 436 sqq., qui hunc titulum tribuit aetati, quae intercedebat inter conditam Rhodum urbem et initium regni Alexandri Magni.

1 κτοίνας: cf. Hesychius: κτύναι ἢ κτοῖναι· χωρήσης προγονικῶν ἱερείων, ἢ δῆμος μεμερισμένος. — 8 ΧΡΗΙΞΟΝΤΙ. — 10 sq. περιβολιβῶσαι: i. e. περιμολυβδῶσαι.

---

177 Ialysi, nunc in museo Britannico.

Ἔδοξε τοῖς μάστροις καὶ Ἰαλυσίοι[ς], | Στράτης Ἀλκιμέδοντος εἶπε· | ὅπως τὸ ἱερὸν καὶ τὸ τέμενος | τᾶς Ἀλεκτρώνας εὐαγῆται κα‖τὰ τὰ πάτρια, ἐπιμεληθήμειν | τοὺς ἱεροταμίας, ὅπως στᾶλαι | ἐργασθέωντι τρεῖς λίθου λάρτ|ου καὶ ἀναγραφῇ ἐς τὰς στάλα|ς τό τε ψάφισμα τόδε καὶ ἃ οὐχ ὅ‖σιόν ἐντι ἐκ τῶν νόμων ἐσφέ|ρειν οὐδὲ εἰσοδοιπορεῖν ἐς τὸ τέ|μενος, καὶ τὰ ἐπιτίμια τῶ[ι] πράσ|σοντι παρὰ τὸν νόμον· θέμειν δὲ | τὰς στάλας μίαν μὲν ἐπὶ τὰς ἐσό‖δου τᾶς ἐκ πόλιος ποτιπορευομέ|νοις, μίαν δὲ ὑπὲρ τὸ ἱστιατόριον, | ἄλλαν δὲ ἐπὶ τὰς καταβάσιος τᾶ[ς] | ἐξ Ἀχαΐας πόλιο[ς]. |

Νόμος, ἃ οὐχ ὅσιον ἐσίμειν οὐδὲ ‖ ἐσφέρειν ἐς τὸ ἱερὸν καὶ τὸ τέ|μενος τὰς Ἀλεκτρώνας· μὴ ἐσί|τω ἵππος, ὄνος, ἡμίονος, γῖνος | μηδὲ ἄλλο λόφουρον μηθέν, μη|δὲ ἐσαγέτω εἰς τὸ τέμενος μη‖θεὶς τούτων μηθέν, μηδὲ ὑποδή|ματα [ἐσ]φερέτω μηδὲ ὕειον μη|θέν· ὅτι δέ κά τ[ις] παρὰ τὸν νόμον | ποιήσῃ, τό τε ἱερὸν καὶ τὸ τέμενος | καθαιρέτω καὶ ἐπιρεζέτω ἢ ἔνο|χος ἔστω τᾷ ἀσεβείᾳ· εἰ δέ κα | πρόβατα

εἰσβάλῃ, ἀποτεισάτω ὑ[πὲρ ἑκάστου προβάτου ὀβολὸν | ὁ ἐσβα-
35 λών· ποταγγελλέτω δὲ | τὸν τούτων τι ποιεῦντα ὁ χρήζων
ἐς τοὺς μάστρους.

Newton, Trans. Roy. Soc. Lit. Sec. Ser. XI (1878) p. 442 sqq., qui hunc titulum eidem aetati tribuit cui praecedentem.

---

178 Prienae.

.....ληται Κάριον κα[ὶ τ]ὰμ [περὶ | αὐτὸ χώ]ραν
ἐπείμειν Πριανέων· τὰν δὲ ἀπόφα[σιν | δόντ]ες ὑπὲρ τούτων
καὶ ποιήσαντες ἀντίγραφα [δ]ύ[ο, ἐδώκαμεν τὸ μὲν ἐν τοῖς
5 πρυτάνεσι τοῖς Σαμίω[ν], || Πρωτομάχῳ Τρίτωνος, Σιμαλίωνι
Εὐ[φ]ράνορος, Θεο[μνήστῳ Ἰσοχράτεος, Ἡγεπόλει Ἀντιπάππου,
Λυσιμά[χῳ Διονυσίου, καὶ τῷ γραμματεῖ τᾶς βουλᾶς Μεν-
ίπ[π]ῳ Κλέωνος, ὡς μὲν Ῥόδιοι ἄγοντι, ἐπὶ ἱερέως Πρα-
το[γένευς, ὡς δὲ Σάμιοι].....

CIG. 2905, 5 (*E*). Le Bas, Voy. arch. III n. 189 (= Explic. p. 74). Papadopoulos Kerameus, Mitteil. arch. Inst. V (1880) p. 339. — De controversia, quae fuit inter Samios et Prienenses, egit Waddington l. l. 73. Hic titulus continet iudicium a Rhodiis latum seculo a. Chr. tertio post mortem Lysimachi regis (281 a. Chr. Cf. 179 *a* 4. *b* 2. 8).

2 ΙΑΝ. — 4 ΔΕΔΩΚΑΜΕΝ.

---

179 Prienae.

a

Σάμον ἀρεδ....α τόνδε καὶ καθ' ὃν καιρὸν.....|
ἐπιστολὰς ὑπὸ Ἀγησάρχου, ἐν αἷς ὑπὲρ μὲν ἰδιω[τικῶν ἀμ-
φισβασιῶν ἐλέγετο, ὑπὲρ δὲ Δρυούσσας] | καὶ τᾶς περὶ τὸ
Κάριον χώρας οὐθεὶς ἀμφεσβάτει· [νῦν δὲ τοὺς Σαμίους ἀν-
τιλέγειν πρὸς τὸν ἀφορισμὸν] | τὸν Ῥοδίων, ἐγκαλοῦντας, ὅτι
χώρας τε πλῆθο[ς ἀφωρίξαντο Πριανεῦσι παρὰ τὸ δίκα]ιον
5 [καὶ μάλιστα τὸ] || Κάριον, ὑπὲρ οὗ νῦν διακρίνεσθαι· οἱ δὲ
Σάμιοι τά τε [τῶν ἱστ]ο[ρι]ο[γράφων μαρτύρια ὑφαγ]ήσαντο, |
καθ' ἃ καὶ ἐπὶ τᾶς κρίσιος τᾶς ὑπὲρ τοῦ Βατινήτου, ἀπὸ
[τούτων π]ειρο[ύμενοι] δεικνύειν, διότι | τὸ Κάριον καὶ ἁ περὶ
τοῦτο χώρα αὐτοῖς ἐπικλα[ρωθείη, καὶ καθ' ὃν και]ρὸν διᾳ-

2284 refers to a contention ~ Samians and Paionians about Βατυγρης χώρα B. think
dgeminaden in 2284 denies ~ from ~ Samian

ἐπίκειμαι to be added to former pronunciation

Rhodes gives the opinion of an ἔκκλητος ἰνδίκ

?

Begins ~ argument ~ Pr. Some one was sent to Samos Hegesander a Samian magistrate ~

S. Maiandros wrote on "Early history of Asia" Class. 12. 552

Chronology by στεφανηφόροι as in the cities of Caria, Miletus, Herod. Priene

Βουλευτήριον πάλιν τὸ ἀνατολικὸν κατεσκευασμένον ἀπὸ τῶν παραφόρων of Ant.

Inde diffusum - 2267 Δίκαιος στεφανηφόρος ὑπὸ τὸν βασιλέα Πτολεμαῖον. Thus Antiochus was a governor under Ptolemy.

ροῦντο τὰν τῶν Μελιέων | χώραν, λαχεῖν αὐτοὶ Κάριον καὶ Δρυοῦσσαν κ[ατὰ τὰ ἐν ταῖς ἐπ]ιγραφομέναις Μαιανδρίου τοῦ Μι[λ]ησίου ἱστορίαις κατακεχωρισμένα, διότι λάχοιε[ν Κάριον καὶ Δρ]υοῦσσαν· μετά τε τὰν παράταξιν || τὰν γενομέναν αὐτοῖς ποτὶ Πριανεῖς ἐπὶ Δρυΐ, καὶ [πᾶσαν] ταύταν τὰν χώραν ἐν ταῖς συνθήκαις | αὐτῶν γενέσθαι· ὁρίξασθαι γὰρ ποτ' αὐτούς· ὡς υδ.....οντο ἱστοριογράφους τοὺς μαρτυ[ροῦντας αὐτοῖς], ὅτι μὲν τὸ Κάριον (ἔ)λαχον μετὰ τὸν Μαιάνδριον, ὅτι διωρίξαντο ποτὶ τοὺς | Πριανε[ῖς, τ]ῶν Ῥοδ[ίων Εὐ]άγωνά τε καὶ Ὀλύμπιχον [καὶ] ..λοκριν· [τὸ] δὲ Κάριον ἔφασα[ν εἶμεν] αὐτῶν κατὰ | .....

b

ἐκπεσεῖν μὲν Καρσί, [τὰ δὲ δαμ]όσια καὶ ..... [καὶ ταῦτα ἐγένετο ἐπὶ στεφαναφό]ρου Λύκου, ὃς ἐστι ἀπὸ Μακαρέως τέταρτος. Ποτὶ δὲ τὸν Λυσίμαχον ἀγ[αγόντων τὰν ἀμφισβασίαν ἐπὶ στε]φαναφόρου τοῦ θεοῦ τοῦ μετὰ Νίκανδρον, ὃς ἐστι ἀπὸ Λύκου πεντε[καιδέκατος, τὰν περὶ τοῦ Βατινήτου, καὶ] | ἐχόντων αὐτῶν καὶ τὸ φρούριον καὶ τᾶς χώρας τᾶς περὶ τὸ φρούριον [τὸ πλεῖστον ἔτη μάλιστα διακόσια?]|| καὶ δύο, οὐκ ἀγανακτῆσαι τοὺς Σαμίους οὐδ' ἀποστεῖλαι ποτ' αὐτοὺς π[ερὶ τούτων, ἐμμένοντας τοῖς διω]κημένοις, ἀλλὰ ἀμφισβασίας μὲν ποθ' αὐτοὺς ἰδιωτικὰς γεγόνειν, [περὶ δὲ τοῦ φρουρίου οὐκ ἀμφισ]βατήκειν τοὺς Σαμίους, ἀλλὰ τοὐναντίον ἐν τῷ ποτὶ Λυσίμαχον ἀκού[σματι συγκεχωρήκειν ὅτι] | Πριανεῖς ἔχοντι τὰν αὐτῶν χώραν. Μετὰ δὲ τὰν ἀναφερομέναν [ἐπὶ Λυσίμαχον δίκαν αὖθις δια]γενομένων ἐτῶν πλειόνων, βασιλεύοντος Ἀντιόχου τοῦ Ἀντιόχου [τοῦ προσαγορευθέντος Θεοῦ, περὶ τού]των] πέμψαι ποτ' αὐτοὺς Σαμίους [πρέσβεις λέγοντας, ὅτι] ἐν παρορία[ι]..... | ....θα περι..... | .....τ..... | .....[Ἀντίο]χον τὸμ βασιλῆ ὑπὲρ τᾶς χρίσιος..... | .....[Σ]άμον ἔ[χ]οντας καὶ πάλιν ἐπ' Ἀντιόχου τοῦ βασιλέως || [πέμψαντας πρέσβεις τοὺς καταγορεύοντας Πριανέων περὶ τ]οῦ παρορίζεσθαι τὰγ χώραν, ὑπὲρ τοῦ φρουρίου τού|[του οὐκ ἀμφισβατήκειν. Χρόνῳ δὲ ὕστερον καὶ πρὸς Ἀν]τίοχον τὸν ὑπὸ βασιλέως Πτολεμαίου τεταγμένον | [ἐπὶ τῶν πόλεων τοὺς Σαμίους περὶ τούτου τοῦ φρουρίο]υ οὐθὲν εἰρηκότας. Καὶ διὰ τὰς ἄλλας αἰτίας τὰς κατα[κεχωρισμένας

ὑπὸ Πριανέων, συγχωροῦντες αὐτοὺς ἀ]φ' οὗ τὰμ πόλιν οἰκοῦντι παραδεικνύντας, ὅτι καὶ τὸ φρούριον | [καὶ τὰν περὶ τὸ φρούριον χώραν ἔχοντι, γινώσκομεν π]άντα δίκαια τὰ εἰρημένα ὑπὸ Πριανέων καὶ κατακεχ[ωρισμέ]να, καὶ κρίνομεν τὸ φρούριον τὸ ἀμφισβατούμενον καὶ τὰν περὶ] τὸ φρούριον χώραν εἶμειν Πριανέων. | Ὅρους δὲ ἀπεδείξαμεν τᾶς τε Σαμίας καὶ Πριανίδος χώρας ἀρχόμενοι, ὡς μὲν Σάμιοι ποταγορεύοντι, ἀπὸ τῶν | κατὰ Σανιδείαν τόπων, ὡς δὲ Πριανεῖς, ἀπὸ Θινίχου πάγου, τὸν πρᾶτον λόφον τὸν πετρώδη, τὸν ὑπερκεί|μενον ὑπὲρ τὰ ἐργάσιμα, ἐφ' οὗ καὶ ὅρον ἐπεκολάψαμεν· ἐφ' ὃν ἀνατείνει ἁ ἐκ τοῦ παρακειμένου ποταμοῦ | φάραγξ ἁ ἀναφέρουσα παρὰ τὰ ἐργάσιμα, ἃς μεταξὺ καὶ τοῦ προγεγραμμένου λόφου ἄλλον ὅρον ἐπὶ πέτρας || ἐπεκολάψαμεν· ὥστε τὰ μὲν ὑπὸ τὸν λόφον καὶ τὰμ φάραγγα καὶ τοὺς ἐπικολαφθέντας ὅρους εἶμειν Σαμίων, | τὰ δὲ ὑπὲρ τὸν λόφον καὶ τὰν φάραγγα καὶ τοὺς ἐπικολαφθέντας ὅρους εἶμειν Πριανέων. Ἀπὸ δὲ τοῦ λόφου τοῦ | πράτου ἀποδειχθέντος, ὃς ἐστι ὑψηλότατος, ἄλλον ὅρον ἐπεκολάψαμεν ἐν τῷ καταλήγοντι τοῦ λόφου· ἀπὸ δὲ τούτου | ἐπ' εὐθείας ἄλλον ἐθήκαμεν ὅρον· ἀπὸ δὲ τούτου ἐπ' εὐθείας πάλιν ἐθήκαμεν ὅρον· ἀπὸ δὲ τούτων ἐπ' εὐθείας ἁ φάραγξ | ὁρίζει ἔστε τὸν ὅρον ὃν ἐθήκαμεν παρὰ τὰν φάραγγα· ἀπὸ δὲ τούτου ἀναβαίνουσι ποτὶ τὸν πετρῶνα ἄλλον ὅρον || ἐπεκολάψαμεν εἰς τὸν πετρῶνα· ἀπὸ δὲ τούτου ἐν τῷ πετρῶνι ἄλλον ὅρον ἐπεκολάψαμεν· ἀπὸ δὲ τούτου, ὡς | παραφέρει παρὰ τὸν βουνόν, εἰς τὸ ἀπολῆγον αὐτοῦ ὅρους ἐπεκολάψαμεν· ἀπὸ δὲ τῶν ἐγκολάπτων ὅρων εἰς τὸν ἀπέ|ναντι βουνὸν τὸν λεπρὸν ἐθήκαμεν ὅρον, καὶ ἀπὸ τούτου παρὰ τὸν βουνὸν ἔστε καὶ τὰν φάραγγα ἐθήκαμεν ἄλλον ὅρον· ἀπὸ | δὲ τούτου [παρὰ τὰν αὐ]τὰν κατέναντι τοῦ ὄρεος διαβάντων τὸν ποταμὸν ἄλλον ἐθήκαμεν ὅρον· ἀπὸ δὲ τούτου ἐπιστρέψαν[τες] .....

.....

a est in CIG. 2905, 2 (*A*); apud Le Bas Voy. arch. III n. 190. 191 (Explic. p. 74 sq.). — *b* est in CIG. 2905, 3 (*B*). 4 (*C*). 1 (*D*); apud Le Bas Voy. arch. III n. 192—194 (Explic. p. 75 sq.). — Apparet ex v. 4 hunc titulum aetate inferiorem esse quam n. 178.

a 6 [π]ειρού[μενοι]: cf. τιμοῦντες n. 180, 10. τιμεῖν n. 199, 16. De his formis egit Bruell, Über den Dialect der Rhodier,

. Hence the decree set up at Priene, but not written by Priennans

ὄρος ἐγκόλαιτος = living rock. ὄρος ἱερός inscribed stone set up on a boundary.

180. Rhodes the chief town Il. vii 69 νῆσόν τε μὲν ἐξ ἁλὸς οὐρῇσι νᾶυσι, ἔχετε νιν ὀξείᾳ ὁ γενέθλιος ἀκτίνων πατήρ

4th. Ἁλιάδαι gentem designant, Ἁλιασταί religiosos, qui cum gente Solem insigniunt colunt, eruditos

79 crown of poplar. Hor. C. I. 7. 23

1. ἱερεύς eponymous magistrate = Rhodians, not = Haliastai
Διόθυος also = Hera. borrowed from Argos to Rhodes.

Leobschütz 1875, p. 18. — 9 ΛΑΧΟΙΣ. — 11 ὡς υδ: Boeckh suppleverat ὑ[φαγ]έοντο. Waddington scripsit ὡς • δ' [ἐπεφέρ]οντο.

b 9 Ἀντιόχου τοῦ Ἀντιόχου: Antiochus Deus Antiochi Soteris filius regnavit aa. 260—247. — 16 βασιλέως Πτολεμαίου: aut Ptolemaeus III Euergetes (aa. 247—222) aut Ptolemaeus IV Philopator (aa. 222—205) intellegendus est. — 29 ΟΡΙΞΕΙ.

---

180 [= 71] Ara Rhodo sub finem anni 1832 Venetias advecta.

[Ἀ]ρχεραν̣ιστὰς Ἁλιαστᾶν καὶ Ἁλιαδᾶν | [Δ]ιονυσόδωρος Ἀλεξανδρεύς, εὐεργέ[τας, ἐπαινεθεὶς καὶ στεφανωθεὶς | ὑπὸ τοῦ κοινοῦ τοῦ Διονυσιαστᾶν | [ἐ]π' ἀρετᾷ χρυσέῳ στεφάνῳ || καὶ τιμαθεὶς εὐεργεσίᾳ καὶ ἀτελείᾳ | πάντων καὶ στεφανωθεὶς ὑπὸ τῶν συν[ε]ρανιστᾶν τῶν εὐεργετηθέντων | ὑπ' αὐτοῦ χρυσέοις στεφάνοις | δυσὶ ἐν τᾷ τῶν Βαχχείων ὑποδοχᾷ κατὰ τριετηρίδα, ἀνέθηκε | τριετηρίσι καὶ τῷ κοινῷ. || Καὶ ἐπαινεθεὶς καὶ στεφανωθεὶς | ὑπὸ τοῦ κοινοῦ τοῦ Πανιαστᾶν | θαλλοῦ στεφάνῳ καὶ στεφανωθεὶς | ἐπ' ἀρετᾷ χρυσέῳ στεφάνῳ ἀπὸ | χρυσῶν δέκα καὶ στεφανωθεὶς | πρᾶτος λευκαίας στεφάνῳ καὶ τιμ[α]θεὶς εὐεργεσίᾳ καὶ ἀτελείαις δυσὶ | πάντων καὶ ἀναγορεύσει τᾶν τιμᾶν | ἐπὶ τῶν τόπων εἰς τὸν ἀεὶ χρόνον | καὶ ἀρχερανιστήσας ἔτη δέκα ὀκτὼ | ἐπαύξησε τὸν ἔρανον. ||

Ἀρχεραν̣ιστὰς | Διονυσόδωρος Ἀλεξανδρεύς, εὐεργέτας, | ἀρχερανιστήσας Ἁλιαστᾶν καὶ | Ἁλιαδᾶν ἔτη ιη΄ ἑξὰν καὶ ἐπαυξήσας | τὸν ἔρανον ἐπανέθη καὶ ἐστεφανώθη || ὑπὸ τοῦ κοινοῦ τοῦ Ἁλιαστᾶν καὶ Ἁλιαδᾶν | πρᾶτος θαλλοῦ στεφάνῳ καὶ | στεφανωθεὶς ἐπ' ἀρετᾷ χρυσέῳ | στεφάνῳ καὶ τιμαθεὶς εὐεργεσίᾳ | [κ]αὶ ἀτελείᾳ πάντων, ἀνέθηκε || [Διο]νύσῳ Βαχχείῳ καὶ τῷ κοινῷ. | Καὶ τιμαθεὶς εἰς τὸν ἀεὶ χρόνον | ἐπαίνῳ, χρυσέῳ στεφάνῳ | [κ]αὶ λευκαίας στεφάνῳ κα[ὶ] | ἀναγορεύσει τᾶν τιμᾶν || ἐν ταῖς συνόδοις καὶ ταῖς | ἐπιχύσεσι ἐπὶ τῶν τόπων | εἰς τὸν ἀεὶ χρόνον. ||

[Ἐ]π' ἱερέως Δαμαινέτου, Διοσθύου δωδεκ[ά]τᾳ, Βουλαγόρας Ῥόδιος εἶπε· ἐπειδὴ | [Δ]ιονυσόδωρος Ἀλεξανδρεὺς εὐεργέτ[ας] | τοῦ κοινοῦ ἐρανίζων ἔτη τριάκοντα || πέντε ἀνὴρ ἀγαθὸς ὢν διατελεῖ περὶ τ[ὸ] | πλῆθος τὸ Ἁλιαδᾶν κα[ὶ Ἁλιασ]τᾶν, καὶ πο[λ]λὰς καὶ μεγάλας χρείας παρείσχηται τῷ κ[οι]νῷ· ὅπως οὖν καὶ Ἁλιάδαι καὶ Ἁλιασταὶ το[ὺς | ἀ]γαθοὺς ἄνδρας καὶ ζῶντας καὶ μεταλλ[ά]ξαντας τὸν βίον φαί-

νωνται τιμοῦντες κ[αὶ] | καταξίας χάριτας ἀποδιδόντες τοῖς προα[ι|ρ]ουμένοις εὐεργετεῖν τὸν ἔρανον καὶ καλ[ὰν | ἀ]πόδειξιν ἐμ πᾶσι πεποιημένοις· τύχᾳ | [ἀ]γαθᾷ δεδόχθαι τῷ κοινῷ τῷ Ἁλιαδᾶν κ[αὶ Ἁ]λιαστᾶν, κυρωθεισᾶν τᾶνδε τᾶν τιμᾶν ἐπα[ι|νέ]σαι καὶ στεφανῶσαι Διονυσόδωρον Ἀλεξα[ν]δρῆ εὐεργέταν τοῦ κοινοῦ εἰς τὸν ἀεὶ χρόν[ον] | χρυσέῳ στεφάνῳ τῷ ἐκ τοῦ νόμου μεγίστω[ι]· | καὶ ὁ γραμματεὺς ἀναγραψάτω τὰ δόξαντα, ‖ ὁ δὲ ἀρχερανιστὰς καὶ τοὶ ἄρχοντες οἵ τε ἐν[ε]στακότες καὶ οἱ μετὰ ταῦτα ἀεὶ αἱρούμενοι ἐπ[ι]μέλειαν ποιείσθωσαν, ὅπως ἐξαιρῆται αὐτῶ[ι] | εἰς στέφανον καθ' ἑκάσταν σύνοδον τριώβολο[ν]· | ὑπαρχέτω δὲ αὐτῷ τὰ τίμια καὶ μεταλλάξα[ν]τι τὸν βίον. Καὶ ὅπως ἕκαστα γίνηται κατὰ τόδ[ε] | τὸ ψάφισμα καὶ κατὰ τοὺς νόμους καὶ ἀναγο[ρ]εύηται ἁ στεφάνωσις αὐτοῦ ἐν ταῖς συνό|δοις τᾷ δεύτερον ἁμέρᾳ μετὰ τὰ ἱερά, ἐπιμέλει[α]ν ποιείσθων ὅ τε ἀρχερανιστὰς καὶ τοὶ ἄρχον‖τες ἀεὶ τοὶ ἐν ἀρχᾷ ἐόντες. Καὶ ὁ ἐπιστάτας τοῦ | κοινοῦ ἢ ὁ ἱεροκᾶρυξ ἀναγορευέτω τὸ κάρυ|γμα τόδε· τὸ κοινὸν τὸ Ἁλιαδᾶν καὶ Ἁλιαστᾶν | ἐτίμασε εἰς τὸν ἀεὶ χρόνον Διονυσόδωρον | Ἀλεξανδρῆ εὐεργέταν τοῦ κοινοῦ ἐπαίνῳ, ‖ χρυσέῳ στεφάνῳ, δίδωτι δὲ αὐτῷ τὰς τι|μὰς καὶ ζῶντι καὶ μεταλλάξαντι τὸν βίον | ἀρετᾶς ἕνεκα καὶ εὐνοίας, ἃν ἔχων διατελεῖ | εἴς τε τὰ κοινὰ καὶ τοὺς αὐτοῦ ἐρανιστάς. Ἐπε[ὶ] | δέ κα μεταλλάξῃ τὸν βίον, τὸ ἐξαιρούμενον ‖ αὐτῷ εἰς τὸν στέφανον εἰς τὸν ἀ|εὶ χρόνον λαμβανόντω ὅ τε ἀρχε|ρανιστὰς καὶ τοὶ λογισταὶ καὶ ὁ ἐπι|στάτας, οἵ κα ἀεὶ ἐν ἀρχᾷ ἔωντι· καὶ | πριάσθων στέφανον καὶ διλήμνιον | καὶ ἀναγορεύσαντες τᾷ δεύτερον | ἁμέρᾳ τᾶν συνόδων ἀποδόσθων κα|ὶ ὃ εὗρον καταβαλέτω εἰς τὸ κοινὸν ‖ ὁ ἐπιστάτας ἐν τῷ συλλόγῳ ἐν τῷ | ἐχομένῳ μηνὶ τᾶν συνόδων, καὶ ὁ | γραμματεὺς ἀναγραψάτω εἰς τοὺς | ἀπολόγους· Διονυσοδώρου εὐεργέ|τα στεφανωθέντος χρυσέῳ στε‖φάνῳ εἰς τὸν ἀεὶ χρόνον, στεφάνου | τοῦ πραθέντος. Ὑπάρχειν δὲ αὐτῷ | τὰν ἀναγόρευσιν καὶ στεφάνωσιν | καὶ ἐπὶ τῶν τάφων ἐμ μηνὶ Ὑακινθί|ῳ καὶ μεταλλάξαντι τὸν βίον, καὶ ‖ ποείσθων τὰν ἐπιμέλειαν ὁμοίως | ὅ τε ἀρχερανιστὰς καὶ τοὶ ἄρχοντες οἱ μετὰ ταῦτα ἀεὶ αἱρούμενοι· τὸ δὲ ἐ|ξαιρούμενον αὐτῷ ἐν τῷ μηνὶ ‖ τῷ Ὑακινθίῳ εἰς στέφανον εἰς τὸν ἀεὶ χρόνον | καταχρείσθων τοὶ ἄρχοντες καθ' ἕκαστον | ἐνιαυτὸν εἰς τὸν στέφανον τὸν ἀναγορευό|μενον ἐπὶ τάφοις μεταλλάξαντος αὐ-

5. Homer has preceded (35)

9 ἔῤῥον pretium quod solutum est. τὸν χρυσὸν εἴρουσα ferebat

ἐπιτελεστής L.S. also only schol. Lycurg. 308 ('accomplisher')

θυσίας καὶ πρόοδοι (processions) καὶ εὐχαί Lycurg. 106.10

τοὺ | τὸν βίον, καὶ στεφανούντω αὐτοῦ τὸ μναμεῖον. ‖ Ὅτι δέ κα μὴ ποιήσωντι κατὰ τόδε τὸ ψάφισμα οἷς | ἔκαστα ποτιτέτακται, ὀφειλέτω τῷ κοινῷ ὁ μ[ὴ | πρά]ξας τι τῶν γεγραμμένων δραχμὰς ἑκατόν, | ἔνοχος δ' ἔστω καὶ τῷ νόμῳ ὡς κεῖται, εἴ τίς κα | κοινὸν ἀδικῇ, καὶ ἐξέστω* τῷ χρήζοντι τῶ[ν ἐ]‖ρανιστᾶν ἀπογράψαι αὐτὸν τὸ ἐπιτίμιον. Τ[ὸ] | δὲ ψάφισμα τόδ[ε κ]ύριον ἔστω εἰς τὸν ἀεὶ χρ[ό]νον, καὶ μὴ ἐξέστω μήτε ἄρχοντι μήτε ἰδ[ι]ώτᾳ μήτε κινεῖν μήτε γνώμαν γράψασθαι | μήτε τοῖς ἄρχουσι προτιθέμειν, ὡς δεῖ τὰς δ[ι]‖δομένας τιμὰς Διονυσοδώρῳ ἀκύρους εἶ*|μειν· ἢ ὁ γράψας ἢ ὁ προθεὶς ἀποτεισάτω τὸ γε|γραμμένον ἐπιτίμιον δραχμὰς ἑκατόν, καὶ ἁ γνώμ[α | α]ὐτοῦ ἄκυρος ἔστω, καὶ ἔνοχος ἔστω τῷ νό|μῳ τῷ ἀκινήτῳ.

CIG. 2525 *b*. Hic titulus quatuor lateribus unius lapidis inscriptus est, sed non eo ordine versuum, qui cum conexu sententiarum congrueret. Itaque Boeckhium secutus singulas partes ita transposui, ut pristina continuatio verborum appareret. — Continentur hoc titulo varia decreta in honorem Dionysodori Alexandrini facta; is trium sacrorum collegiorum particeps erat, quorum unum Solem, alterum Panem, tertium Bacchum venerabatur.

108 **ΚΗ**, mutavit Boeckh. — 59 **ΕΘ**. — 90 ὅτι: ex apographo Franzii; v. Ahrens Dial. II 584. — 94 **Ι** litera deleta. — **ΧΡΗΙΩΝΤΙ**. — 100 fin. **Ν** litera deleta.

---

181 [= 44] Tabula marmorea opisthographa olim Venetiis asservata, ubi fragmentum eius anno 1844 exstabat.

Θεὸς τύχᾳ ἀγαθᾷ.

Ἔδοξε τῷ δάμῳ ἀγαθᾷ τύχᾳ· εὔξασθαι μὲν τοὺς ἱερεῖς καὶ | τοὺς ἱεροθύτας τῷ Ἁλίῳ καὶ τᾷ Ῥόδῳ καὶ τοῖς ἄλλοις θεοῖς | πᾶσι καὶ πάσαις καὶ τοῖς ἀρχαγέταις καὶ τοῖς ἥρωσι, ὅσοι ἔχοντι | τὰν πόλιν καὶ τὰν χώραν τὰν Ῥοδίων, συνευγχεῖν Ῥοδίοις καὶ ‖ Ἱεραπυτνίοις τὰ δόξαντα περὶ τᾶς συμμαχίας· ἐπιτελε[σ]τᾶν δὲ | τᾶν εὐχᾶν γενομενᾶν θυσίαν καὶ πόθοδον ποιήσασθαι, καθά | κα δόξῃ τῷ δάμῳ. Κυρωθείσας δὲ τᾶς συμμαχίας καὶ τῶν | ὅρκων συντελεσθέντων κατὰ τὰ γεγραμμένα ὑπάρχειν συμμα|χίαν ποτὶ τὸν δᾶμον τὸν Ῥοδίων καὶ

συνεργεῖν Ἱεραπυτνίους || τῷ δάμῳ τῷ Ῥοδίων καὶ πόλιν καὶ λιμένας καὶ ὁρματήρια | παρέχει(ν) καὶ εὔνους καὶ φίλους καὶ συμμάχους ὑπάρχειν εἰς | τὸν ἅπαντα χρόνον· καὶ εἴ τίς κα ἐπὶ πόλιν ἢ χώραν στρατεύ|ηται τὰν Ῥοδίων ἢ τοὺς νόμους ἢ τὰς ποθόδους ἢ τὰν καθεστα|κυῖαν δαμοκρατίαν καταλύῃ, βοαθεῖν Ἱεραπυτνίους Ῥοδίοις || παντὶ σθένει κατὰ τὸ δυνατόν. Εἰ δέ κα ὁ δᾶμος ὁ Ῥοδίων | μεταπέμπηται συμμαχίαν παρὰ Ἱεραπυτνίων, ἀποστελλόντων | τὰν συμμαχίαν Ἱεραπύτνιοι ἐν ἀμέραις τριάκοντα, ἀφ' ἃς | κα παραγγείλωντι Ῥόδιοι, ἄνδρας διακοσίους ὅπλα ἔχοντας, εἴ | κα μὴ ἐλασσόνων χρείαν ἔχωντι Ῥόδιοι· τῶν δὲ ἀποστελλομέ||νων ἐόντων μὴ ἐλάσσους τῶν ἡμίσων Ἱεραπύτνιοι· εἰ δέ κα | πόλεμος περιέχῃ Ἱεραπυτνίους, ἀποστελλόντων ὅσους κα* δυ|νατὸν ᾖ αὐτοῖς. Τοῖς δὲ πεμπομένοις παρὰ Ἱεραπυτνίων παρ|εχόντων Ῥόδιοι πορεῖα εἰς τὰν διακομιδὰν τὰν ἐκ Κρήτας | εἰς Ῥόδον· καὶ εἰ μέν κα τὰ(ν) συμμαχίαν μεταπέμπωνται || Ῥόδιοι ἐν τέσσαρσι τοῖς πράτοις ἔτεσιν, ἀφ' ἃς κα παρα|γένωνται ἀμέρας εἰς Ῥόδον οἱ σύμμαχοι, διδόντων ἑκάστω | ἀνδρὶ Ῥόδιοι ἑκάστας ἀμέρας ἐννέ' ὀβολοὺς ῥοδίους, τοῖς δὲ | ἀγεμόσι ἀγουμένοις ἑκάστῳ ἀνδρῶν μὴ ἐλασσόνων πεντή|κοντα διδόντων ἑκάστῳ τὰς ἀμέρας ἑκάστας ὁραχμὰς δύο· εἰ || δέ κα μετὰ τὸν γεγραμμένον χρόνον μεταπέμπωνται Ῥόδιοι | τὰν συμμαχίαν, τὰ μὲν ἄλλα γινέσθω κατὰ ταὐτά, ἀφ' ἃς δέ κα | ἔλθωντι ἀμέρας τοὶ ἀποστελλόμενοι σύμμαχοι παρὰ Ἱεραπυ|τνίων εἰς Ῥόδον, παρεχόντων Ἱεραπύτνιοι τοῖς ἀποσταλ*εῖσι συμ|μάχοις τὰ ὀψώνια ἀμέρας τριάκοντα, τοῦ δὲ ὑπολ*οίπου χρόνου || διδόντων Ῥόδιοι καθὰ γέγραπται. Εἰ δέ κα συστᾶ(ι) πόλεμος Ῥο|δίοις ποτί τινα τῶν ἐν συμμαχίᾳ ἐόντων Ἱεραπυτνίοις, εἰ μέν | κα πολεμῶντ(α)ι Ῥόδιοι, ἀποστελλόντων τὰν συμμαχίαν Ῥοδίοις | Ἱεραπύτν(ι)οι, εἰ δέ κα πολεμῶντι κατάρξαντες πολέμου, μὴ ἐπά|ναγκες ἔστω Ἱεραπυτνίοις ἀποστέλλειν συμμαχίαν Ῥοδίοις. Εἰ || δέ κα ξενολογίου χρείαν ἔχωντι Ῥόδιοι, ἐκ Κρήτας παρεχόντων | Ἱεραπύτνιοι ἀσφάλειαν τῷ ξενολογίῳ ἐν τᾷ πόλει, παρεχόντων | δὲ καὶ ἐν τᾷ χώρᾳ καὶ ἐν ταῖς νάσοις ταῖς παρ' αὐτῶν κατὰ | τὸ δυνατόν, καὶ πάντα συνεργούντων εἰς τὸ συντελεσθῆμεν | Ῥοδίοις τὸ ξενολόγιον· ἄλλῳ δὲ κατὰ Ῥοδίων ξενολόγιον μηθενὶ || διδόντων παρευρέσει μηδεμιᾷ, μηδὲ στρατευέσθω Ἱεραπυτνίων | μηθεὶς κατὰ Ῥοδίων παρευρέσει μηδεμιᾷ, ἢ

ὁμοτεδής praying the same tones Pollux 3.56, Hesych.

ἔνοχος ἔστω τοῖς | ἐπιτιμίοις, καθάπερ εἰ ἐπὶ τὰν Ἱεραπυτνίων πόλιν ἐστρατεύετο, | χωρὶς ἢ ὅσοι πρὸ τᾶσδε τᾶς συνθήκας ἐξεστρατεύκαντι. Ταῖς δὲ | δυνάμεσι ταῖς ἀποστελλομέναις ὑπὸ Ῥοδίων πάντα συμπρασσόντων Ἱεραπύτνιοι κατὰ δύναμιν τὰν αὐτῶν, πᾶσαν πρόνοιαν | ποιούμενοι καθότι καὶ τῶν ἰδίων πολιτᾶν· καὶ εἴ κα συνιστᾶται | λαστήρια ἐν Κρήτᾳ καὶ ἀγωνίζωνται Ῥόδιοι κατὰ θάλασσαν | ποτὶ τοὺς λαστὰς ἢ τοὺς ὑποδεχομένους ἢ τοὺς συνεργοῦντας | αὐτοῖς, συναγωνιζέσθων καὶ Ἱεραπύτνιοι κατὰ γᾶν καὶ κατὰ ‖ θάλασσαν παντὶ σθένει κατὰ (τὸ) δυνατὸν τελέσμασι τοῖς αὐ|τῶν· καὶ τοὶ μὲν λασταὶ τοὶ ἁλισκόμενοι καὶ τὰ πλοῖα αὐτῶν | παραδιδόσθω Ῥοδίοις, τῶν δὲ ἄλλων ἔστω τὸ μέρος ἑκάστῳ | τῶν συναγωνιξαμένων.

Κατὰ ταὐτὰ δὲ καὶ Ῥόδιοι ἐόντων | Ἱεραπυτνίοις εὖνοι καὶ φίλοι καὶ σύμμαχοι εἰς τὸν ἅπαντα ‖ χρόνον, καὶ τοὶ ἄρχοντες τοὶ ἀποστελλόμενοι ὑπὸ Ῥοδίων | ἐπὶ τᾶν ναυτικᾶν δυναμίων ἐπιμελέσθω(ν) τᾶς πόλιος τᾶς | Ἱεραπυτνίων καθάπερ τᾶς ὁμοτελοῦς, πάντα πράσσοντες | τὰ ποτ' ἀσφάλειαν καὶ σωτηρίαν τᾶς πόλιος τᾶς Ἱεραπυτ|νίων. Καὶ εἴ τίς κα βασιλεὺς ἢ δυνάστας ἢ ἄλλος ὁστισοῦν ‖ ἐπὶ πόλιν στρατεύ(ηται) τὰν Ἱεραπυτνίων, βοαθούντων Ἱεραπυτ|νίοις εἰς τὰν πόλιν παντὶ σθένει κατὰ τὸ δυνατόν. Εἰ δέ τίς | κα τὰς ἀπὸ τοῦ δικαίου γινομένας ποθόδους ἐκ θαλάσσας | παραιρῆται Ἱεραπυτνίων ἢ τὰν καθεστακυῖαν δαμοκρατίαν | παρὰ Ἱεραπυτνίοις καταλύῃ καὶ συμμαχίαν μεταπέμπωνται ‖ Ἱεραπύτνιοι, ἀποστελλόντων Ῥόδιοι Ἱεραπυτνίοις τριήρεις δύο, | [τὰ δὲ τελεύμενα εἰς τὰς τριήρεις μηνῶν δύο διδόντων] Ῥόδιοι, [τοῦ δὲ ὑπο]λοίπου χρόνου δι[δ]όντων Ἱεραπύτνιοι εἰς ἑκατέραν τριήρ]η τοῦ μηνὸς ἑκάστου δραχμὰς μυρίας. Δ. Εἰ δέ κα πόλεμος περιέχ[ῃ | Ῥοδίους, ἀποστελλόντ]ων συμμαχίαν, ἃγ κα δυνατὸν ᾖ. Εἰ δέ κα πόλεμον ἐξενέγκωντι Ἱεραπύτνιο[ι | ποτί τινας ἄνε]υ τᾶς Ῥοδίων γνώμας, μὴ ἐπάναγκες ἔστω Ῥοδίοις ἀποστέλλε(ν) συμμαχίαν. Τὰν δὲ συ[μ]μαχίαν ἀποστελλόντων Ῥόδιοι ἐν ἁμέραις τριάκοντα, ἀφ' ἃς κα παραγγείλωντι Ἱεραπύτνιοι, χωρὶς ἢ εἰ[ς] | τὸν ἐνεστακότα Ἱεραπυτνίοις πόλεμον ποτὶ Κνωσίους καὶ τοὺς συμμάχους· εἰς δὲ τοῦτον μὴ συμμα|χούντων Ῥόδιοι Ἱεραπυτνίοις. Μὴ στρατευέσθω δὲ μηδὲ Ῥοδίων μηθεὶς κατὰ Ἱεραπυτνίων παρευρέσ[ει] | μηδεμιᾷ ἢ ἔνοχος ἔστω τοῖς ἐπιτιμίοις, καθάπερ

εἰ ἐπὶ τὰν Ῥοδίαν ἐστρατεύετο, χωρὶς ἢ ὅσοι πρὸ τᾶσδε [τᾶς] | συνθήκας ἐξεστρατεύκαντι. Εἰ δέ τινές κα τῶν ὑποδεχομέ-
80 νων τοὺς λᾳστὰς ἢ συνεργούντων α[ὐ]|τοῖς, συστρατευσάντων Ἱεραπυτνίων Ῥοδίοις ἐπὶ τὰν κατάλυσιν τοῦ λᾳστηρίου, πόλεμον ἐξενέγκ[ων]τι Ἱεραπυτνίοις διὰ ταύταν τὰν στρατείαν, βοαθούντων Ῥόδιοι Ἱεραπυτνίοις παντὶ σθένει κατὰ τὸ δυ[να]|τόν, καὶ ὁ ταῦτα πράσσων πολέμιος ἔστω Ῥοδίοις. Εἰ δέ κα ξενολογήσωντι Ἱεραπύτνιοι ἐκ τᾶς Ἀσίας εἰς ἴδι[ον] | πόλεμον, πάντα τὰ δυνατὰ συμπρασσόντων αὐτοῖς Ῥόδιοι εἰς τὸ ἀσφαλῶς διακομισθῆμεν τὸ ξενολόγι[ον] | εἰς Ἱεράπυτναν, ἄλλῳ δὲ κατὰ Ἱεραπυτνίων ξενολόγιον μηθενὶ συγκατασκευαζόντων Ῥό-
85 διοι παρε[υ]|ρέσει μηδεμιᾷ.

Ἐξέστω δὲ καὶ διορθώσασθαι τὰς συνθήκας, εἴ τί κα δοκῇ ἀμφοτέραις ταῖς πόλεσι δια|πρεσβευσαμέναις ποθ' αὐτάς· ἃ δέ κα κοινᾷ δόξῃ, ταῦτα κύρια ἔστω. Κυρωθείσας δὲ τὰς συνθήκας ἑλ[έσ]|θω ὁ δᾶμος παραχρῆμα ἄνδρας πέντε· τοὶ δὲ αἱρεθέντες μετὰ τῶν παραγεγενημένων ἐξ Ἱεραπύτν[ας] | πρεσβευτὰν ὁρκιξάντων τὸν νόμιμον ὅρκον Ῥοδίους ἅπαντας τοὺς ὄντας ἐν ἁλικίᾳ, ἐμμενεῖν τᾷ συ(μ)μαχίᾳ | καὶ τᾷ συντάξει τᾷ γεγενημένᾳ τῷ δάμῳ ποτὶ Ἱεραπυτνίους ἀδόλως καὶ
90 ἀπροφασίστως, εὐο[ρ]|κεῦντι μὲν εὖ εἶμεν, ἐπιορκοῦντι δὲ τὰ εἰς ἐναντία. Κατὰ ταὐτὰ δὲ ὁρκιξάντων καὶ τοὺς πρεσβευτὰ[ς] | τοὺς παρὰ Ἱεραπυτνίων τοὶ πρυτάνιες παραχρῆμα ἐν τᾷ ἐκκλησίᾳ, ὅρκια δὲ παρεχέτω ὁ ἱερω... | τοὶ δὲ ταμίαι τελεσάντων τὸ ἐκ τοῦ νόμου γεγραμμένον. Ὅπως δὲ καὶ Ἱεραπύτνιοι ὁμόσωντι τῷ [δά]μῳ, ἐλέσθαι ἄγγελον· ὁ δὲ αἱρεθεὶς ἀφικόμενος ποτὶ Ἱεραπυτνίους ὁρκιξάτω αὐτούς, καθὰ καὶ Ῥοδ[ίους] | γέγραπται ποιήσασθαι τοὺς ὅρκους, καὶ ἐμφανι-
95 ζέτω τὰν εὔνοιαν τὰν ὑπάρχουσαν αὐτοῖς || παρὰ τῷ πλήθει τῷ Ῥοδίων. Ὅπως δὲ καὶ τὰ δεδογμένα περὶ τᾶς συμμαχίας καὶ τᾶς συντάξιος ἀνα|γραφέντα εἰς στάλας φανερὰ ᾖ εἰς πάντα τὸν χρόνον, ὁ μὲν δᾶμος ἀναθέτω στάλαν ἐν Ῥόδῳ ἐν τ[ῷ ἰ]|ερῷ τᾶς Ἀθάνας, τοὶ δὲ πωληταὶ ἀποδόσθων. καθά κα ὁ ἀρχιτέκτων συγγράψῃ, ὅπως ἐργασθῇ πέτρ[ας] | λαρτίας καὶ τὰ κεκυρωμένα περὶ τᾶς συμμαχίας ταῖς πόλεσι ἀναγραφῇ καὶ τεθῇ εἰς τὸ ἱερόν, μὴ [πλέ]|ον τέλεσμα ποιοῦντες δραχμᾶν ἑκατόν· τὸ δὲ εὑρὸν τοὶ ταμίαι δόντων ἀπὸ
100 τῶν κατὰ ψαφίσμα[τα] || ἐκκειμένων. Ἀναγραψάντων δὲ καὶ Ἱεραπύτνιοι καὶ θέντων παρ' αὐτοῖς ἐν τῷ ἱερῷ ὅπεῖ κα

δόξῃ Ἱεραπύτν[ας]. | Ἀιρέθη ἄγγελος ποτὶ Ἱεραπυτνίους Διογένης Ἀριστώνδα· ὁρκωταὶ ἐν Ῥόδῳ | Ἱερόμβροτος Ἀγησιτίμου, Ἀριστόλοχος Πεισιστράτου, καθ' ὑοθεσίαν δὲ Ἀρχύλλου, | Τιμάρατος Νικοτίμου, Νικόμαχος Ἀριστάρχου, Σπαρτίων Φειδιάναχτος.

Naber Mnemos. I (1852) p. 79 sqq. Vv. 1—70 traditi sunt in codice quodam Ambrosiano, quem exscripsit Steinbuechel; vv. 71—103 ex ipso lapide descripsit Cobet. In eodem lapide exstant tituli Cretici nn. 117. 118. — Decretum Rhodiorum circa annum 220 a. Chr. factum esse probabile reddidit Naber l. l. 88.

5 ἐπιτελε(σ)τᾶν: ἐπιτελέων Cobet. — 14 βοεθειν Stbl. — 17 fin. ῆς Stbl. — 21 τα literae deletae. — 33 λ litera deleta. — 34 ὑπολλειπου Stbl. — 43 συντελεστημεν Stbl. — 65 βοεθουντων Stbl. — 68 παρειρηται Stbl. — 71 sqq. Quae uncis inclusa sunt, in lapide iam non vidit Cobet.

---

182 Tabula marmorea Rhodi reperta.

[Τὸν δεῖνα πρυτανεύσαντα οἱ συνάρξαντες]

[πρυτανεῖς]	[ταμίαι]
.....αρ.....	Ἀναξίλ[ας] .....
.... Ἀγησιστράτου	Δωρόθεος Νικαίου
[καθ' ὑο]θεσίαν δὲ Ἐξακέστου	Νικοκράτης Παυσίων[ος]
...στρατος Δαμοκλεῦς	Ἐμμενίδα[ς] Παυσία
....σίλοχος Παυσία	Μένιππος Οὐλιάδου
[καθ'] ὑοθεσίαν δὲ Ἄνδρω[νος]	Νικόμαχος Ἐξακέστου
[Πυθ]όδοτος Πυθοδότου·	καθ' ὑοθεσίαν δὲ Εὐφράστου
γραμματεὺς βουλᾶς	Μενεκράτης Μενεκράτ[ευς]·
[Θεύ]προπος Θευφάνευς	γραμματεύς
[κα]θ' ὑοθεσίαν δὲ Θευφάνευς·	Τηλέμναστος Ἀνδρα....
ὑπογραμματεὺς	καθ' ὑοθεσίαν δὲ Ἀρχιτ[έλευς]·
βουλᾶι καὶ πρυτανεῦσ[ι]	ἐπίσκοποι
[Ἀρι]σταγόρας Ἀρισταγόρα	Σωσικράτης Πλειο[τ]....
τοῦ Ἀρισταγόρα·	Δεινόμαχος Σιμ.....
στραταγοί	Αἰνήσιος Ἀναξικ.....
....υκρέων Δαμοφίλου	Τελέστωρ Θευφά[νευς]
....κράτης Πύθωνος	Τρίτυλλος Ἀναξα....
....αγόρας Πολυκλεῦς	γραμματεύς

[Λύ]σανδρος Τιμοκράτευς
. . . σιάναξ Ἀπολλοδότου
[κα]θ' ὑοθεσίαν δὲ Γόργωνος
. . . . Ἰαγόρας Κλείνου
. . . . σιος Παναιτίου
. . . . στος Ἀλεξάνδρου
[ἐ]πὶ τὰν χώραν
. . . . ρίδας Δαμοκράτευς,
[ἐ]πὶ τὸ πέραν
. . . . ος Θαρσυβίου·
γραμματεύς
. . . . . Διοκλεῦς.

Ἐπιμένων Κλεάνακτο[ς]·
ἐπιμελητὰ τῶν ξέ[νων]
Ἀριστομβροτίδας Ἀριστο. . . .
Εὔφαντος Παυσανίου
Σωκράτης Νυμφίωνος
Ἀντίπατρος Ἡρακλε. . . .
Φίλτατος Φιλτάτου
καθ' ὑοθεσίαν δὲ Θαρσίπ(π)ο[υ]·
γραμματεύς
Σιμίας Χαρμοκλεῦς·
ἀγεμὼν ἐπὶ Καύνου
Φιλιστίδας Ἀρχιπόλιος·
ἀγεμὼν ἐπὶ Καρίας
Θεαγένης Πιστοκράτε[υς]·
ἀγεμὼν ἐπὶ Λυκίας
Διοκλῆς Θευπρόπου·
θεοῖς.

Roehl, Mitteil. arch. Inst. II (1877) p. 224 sq. n. 2. — Titulum, quem intra annos 188—167 a. Chr. scriptum esse putat, in honorem primi inter sex prytanes positum esse demonstrat Roehl p. 226.

12 ΓΕΥΤΑΝΕΥΣ: ex πρυτανεῦσ[ι] Roehl colligit in titulo, quem edidit Ross Inscr. Gr. ined. 275, 17 non δάμῳ sed πρυτανεῦσι post καί supplendum esse; idem affert alia exempla huius formae in -εύς desinentis. — 25 init. H. — 27 init. Σ. — 29. 31. 33 ἀγεμόνας tres imperio στραταγοῦ ἐπὶ τὸ πέραν subiectos fuisse putat Roehl.

---

183 In solo Lindi veteris.

Ἔδοξε μάστροις καὶ Λινδίοις, ἐπιστατᾶν [γνώμα]· | ἐπειδὴ ἐπιστάται αἱρεθέντες ὑπὸ Λινδίων | Ἀνάξανδρος Ἐ(ρ)άτωνος Κα(μ)ύνδιος, | Λυσίας Λυσικράτευς Λαδάρμιος, ‖ καὶ τοὶ αἱρεθέντες ἄνδρες | * * * * * * | συναγωνίσασθαι ταῖς δίκαις | Εὔβουλος Εὐθυμάχου Ποσ. . ., | Παυσανίας Πολυτάλου Βράσιος, ‖ Ἀστυμέδων Ἀνδροσθένευς Λινδοπολίτας, | Ἀγήσανδρος Πολυαράτου Ἀργεῖος, | Ἐπικράτης Ἀγησιδάμου Κλάσιος, | Τελέσων Δαμοσ[θέ]νευς Κλάσιος, | Φιλίων Ἀν-

47. μενᾶν πολεῦνται : cf. μενᾶν πολήμενος Philyllios 431/28 : cf. 429/40

δρος[θέ]νευς Λινδοπολίτας, || Ἐπικράτης Παπί[ωνο]ς Καμύνδιος, | Διδυμακλῆς Μ....ου Λινδοπολίτας, | Ἀγησίλοχος Ἀγ[η]σάνδρου Κραττάβιος, | Ἀρχ(ί)νομος Φιλόφρονος Κλάσιος, | Ἀρχοκράτης Στρατοκλεῦς Βουλίδας, || Καλλίστρατος Νικοστράτου Νεττίδας, | Ἀλεξίμαχος Κλεανδρίδα Λαδάρμιος, | Ἀλεξίμαχος Μικύλου Λαδάρμιος, | Εὐκλῆς Ἀφαιστίωνος Ἀργεῖος, | Δεινίας Ἀνθαγόρα Λινδοπολίτας, || Καλλίγνωτος Δαμοσθένευς Κλάσιος, | Ἀριστόμαχος Ἀλεξάρχου Πεδιεύς, | Φαίνιππος Ἐπικράτευς Κλάσιος, | Νικαγόρας Ἀριστογένευς Νεττίδας, | Φιλοκράτης Δαμοκράτευς Λινδοπολίτας, || Κλεαγόρας Κομάτα Κλάσιος, | Ἀγησίστρατος Εὐδίκου Βουλίδας, | Πιστοκράτης Θευγένους Κλάσιος, | Ξενοφῶν Κλείτωνος Βρά- sic
σιος, | Φαέθων Φιλοκράτευς Λαδάρμιος, || Ἀ[λκι]μέδων Φίλωνος Λινδοπολίτας, | Ὀνομακλῆς Μελανθώπου Λινδοπολίτας, | Θεαίδητος Πολυχάρμου Νεττίδας, | ἄνδρες ἀγαθοὶ sic
ἐγένο(ν)το, εὖ δὲ φυλάξαντες Λινδίο(ι)ς, ὅπως | ταὶ αἱρέσιες γίνωνται ἐν Λίνδῳ τῶν ἱερέων καὶ ἱεροθυτᾶν καὶ || ἱεροποιῶν καὶ τῶν ἄλλων (ἐ)πὶ τὰ (κ)οινὰ τασσομένων [εἰς εὐαρ]ές[τησιν] αὐτῶν Λινδίων, καθ' ἃ καὶ ἐν τοῖς νόμοις [γ]έγραπται, κα[ὶ μ]ὴ μετέ|χωντι τῶν ἐν Λίνδῳ ἱερῶν οἳ μὴ πρ(ό)τερον μετε(ῖ)χον· δεδό|χθαι μάστροις καὶ Λινδίοις, ἐπαινέσαι αὐτούς, ὅτι ἄνδρες | ἀγαθοὶ ἐγένοντο περὶ τὰ ἱ(ε)ρὰ τὰ Λινδίων, καὶ ἀναγράψαι τόδε τ[ὸ] || ψάφισμα ἐς στάλαν λιθίναν καὶ θέμειν ἐς τὸ ἱερὸν τᾶς Ἀθάνας, | ὅπως πᾶσιν τοῖς ἐπιγινομένοις φανερὸν ᾖ, ὅτι Λίνδιοι τῶν [ἀ]γαθῶν ἀνδρῶν μνᾶν ποιεῦνται ἐς τὸν ἅπαντα χρόνον· τὸ | δὲ ἀνάλωμα τὸ ἐς τὰν στάλαν καὶ ἀναγραφὰν ὁ ἱερεὺς [τᾶς] | Ἀθ(ά)νας τελεσάτω· ὅπως δὲ ἁ στάλα τεθῇ ἐς τὸ ἱερὸν τᾶς [Ἀ]θάνας, τοὶ ἐπιστάται ἐπιμεληθέντω τοὶ ἐν ἀρχᾷ ἐόντες.

Foucart, Rev. arch. N. S. 15 (1867) p. 204 sqq. n. 60 edidit ex apographo Barmanni medici Rhodi habitantis.

3 ΕΑΓΟΝΟΣ. — 4 ΛΛΛΡΕΟΣ. — 6—8 versuum ordo in apographo turbatus et v. 5 bis scriptus est. — 38 ΣΥΔΑΦΥΛΑΤΑΝΤΕΣ. — 42 ΙΕΡΟΝ. — 47 Α litera deleta. — ΜΗΑΝ, inde μνείαν Foucart. — 50 ἐπιμεληθέντω: immerito ν in fine addidit Foucart; cf. Bruell, Über den Dialect der Rhodier, Progr. Leobschütz 1875, p. 18.

184 Lindi in basi rotunda.

Λίνδιοι ἐτίμασαν | Μοιραγέν[η] Ἀρχοκράτε[υ]ς | καθ' ὑοθεσίαν δὲ Λυσιστράτο[υ] | ἐπαίνῳ, χρυσέῳ στεφάνῳ, ‖ εἰκόνι χαλκέᾳ, προεδρίᾳ | ἐν τοῖς ἀγῶσι, σιτήσει | ἐν ἱεροθυτείῳ, | ἀρετᾶς ἕνεκα καὶ εὐνοίας | καὶ φιλοδοξίας [ἃ]ν ἔχων διατελεῖ ‖ εἰς τὸ πλῆθος τὸ Λινδίων. |

Ἐπίχαρμος Σολεὺς ᾧ ἁ ἐπιδαμία δέδοται καὶ | Ἐπίχαρμος Ἐπιχάρμου Ῥόδιος ἐποίησαν.

Ross, Archäol. Aufs. II p. 589 n. 1.

---

185 Lindi in magna basi quadrata.

[Λίνδιοι ἐτίμασαν] | Ἀθανόδωρον Ἀγη[σ]άνδ[ρου] | καθ' ὑοθεσίαν δὲ Διονυσίου | ἐπαίνῳ, χρυσ[έ]ῳ στεφάνῳ | καὶ εἰκόνι χαλκέᾳ· ‖ δεδώκαντι δὲ αὐτῷ καὶ ἀναγόρευσιν | τᾶνδε τὰν τιμᾶν εἰς τὸν ἀεὶ χρόνον | καὶ προεδρίαν ἐν τοῖς ἀγῶσι | καὶ σίτησιν ἐν ἱεροθυτείῳ καὶ στεφαναφορίαν | ἐν ταῖς παναγύρεσι καθ' ἕκαστον ἐνιαυτὸν ‖ αἷς ἄγοντι Λίνδιοι, | εὐσεβείας ἕνεκα τᾶς ποτὶ τοὺς θεοὺς | καὶ ἀρετᾶς καὶ εὐνοίας καὶ φιλοδοξίας | ἃν ἔχων διατελεῖ εἰς τὸ πλῆθος τὸ Λινδίων | καὶ εἰς τὸν σύνπαντα δᾶμον.

Ross, Archäol. Aufs. II p. 610 sq. n. 21.

14 τὸν σύνπαντα δᾶμον: i. e. universam civitatem omnium Rhodiorum; cf. p. 116.

---

186 Fragmentum marmoris repertum prope Rhodum urbem.

Ἐπὶ ἱερέως Θευφάνευς, ἀρχερανιστᾶ | Μενεκράτευς Κιβυράτα, Ὑακινθίου | ἕκτᾳ ἐξ ἰκάδος, [τοίδ]ε τῶν ἐρανισ|τᾶν ἐπαγγείλα[ντο] εἰς τὰν ἀνοι|κοδομὰν τοῦ τοίχου καὶ τῶν μνα|μείων τῶν πεσόντων ἐν τῷ σεισμῷ· | Μενεκράτης Κιβυράτας ἀνοικοδομήσειν τὸν τοῖχον | καὶ τὰ μναμεῖα τοῖς ἰδίοις ἀναλώμασι, τὸ δὲ πεσὸ[ν] | ἀργύριον ἐκ τᾶν ἐπαγγελιᾶν ὑπάρξει τῷ κοινῷ· | .....υδος δ'.

Papadopoulos-Kérameus, Bull. Corr. Hell. V (1881) p. 331 sq. n. 1.

---

187 Camiri.

Τιμα[κρά]της Τιμοθέου δαμιοργήσας | καὶ ἱεροποιοὶ | Τιμασιάναξ Δωριέως, | Ἀλεξιάδας Ἀγησίππου, ‖ Ἄρχιππος Ὑνασάνδρου, | Ἑρμοκράτης Διογένευς, | Βουλακράτης Σωστράτου, | Πύθων Διογένευς, | Δαμαγόρας Δαμαγήτου, ‖ Νικόπολις Ἀγησάνδρου, | Ἀγαθόκριτος Δωριέως, | Ἀριστωνίδας Ἀλεξιμάχου, | Μεγάσων Κριτοβούλου, | Νίκων Τελέσωνος, ‖ [κ]αὶ ἀρχιαριστὰς Φιδίων Θεστία | καὶ ἱερεῖς Ἀθάνας Πολιάδος, Διὸς Πολιέως | Ἀγησικράτης Ἀριστοκράτευς, | Ἀπόλλωνος Πυθίου | Ἀριστόμαχος Ἀριστομαχίδα, ‖ Ἀπόλλωνος Καρνείου | Θεύ[δι]ππος Ἀρχιδάμου, | Ποτειδᾶνος Κυρητείου | Τελεσίας Καλλισθένευς, | Ἡρακλεῦς ..κρινις Τιμακράτευς, ‖ Ἀφροδίτας Μενεκλῆς Ἀριστείδα· | ἀγωνοθέτας | Ἀλεξίμαχος Θηραΐδα, | θεοῖς.

Papadopoulos-Kérameus, Bull. Corr. Hell. V (1881) p. 337 n. 14.

1 ΔΑΜΙΟΥΓΗΣΑΣ, cf. δαμιοργοῦ n. 167, 8. 9. 169, 2, δαμιοργίῳ n. 166,7, et quae exposui ad n. 274; δαμιουργήσας exstat in titulo Camiri reperto, quem edidit Foucart Rev. arch. 14 (1866) p. 336 n. 59. — 3 ΤΙΜΙΣΙΑΝΑΞ. — 7 ΣΟΣΤΡΑΤΟΥ. — 12 ΑΡΙΣΤΟΝΙΔΑΣ. — 26 ΑΓΩΝΟΘΕΤΑΙ.

---

188 Rhodi.

Θευδαισίου ἔκτα | ἱσταμένου Ποτ|ειδᾶνι Φυταλμί|ῳ ὗς τέλεος ‖ θοινῆται.

Jules Martha, Bull. Corr. Hell. II (1878) p. 615 n. 1.

---

189 Lindi in basi rotunda.

Ἀριστόλοχος Ἀριστοδώρου | καθ' ὑοθεσίαν δὲ Φιλτία, | ἱερατεύσας Ἀθαναίας Λινδίας | καὶ Διὸς Πολιέως ‖ καὶ Ἀρτάμιτος τᾶς ἐν Κεκοίᾳ, | θεοῖς. |

Πυθόκριτος Τιμοχάριος [Ῥό]διος ἐποίησε.

Ross, Archäol. Aufs. II p. 594 sq. n. 3.

7 ΡΙΟΣ.

---

190 Lindi in magna basi quadrata.

Ζηνόδοτος Διοφάντου | τοῦ Ζηνοδότου | καθ' ὑοθεσίαν δὲ |
5 Ὀνασάνδρου || γραμματεὺς μάστρων | ἱερατεύσας Ἀθάνας Λιν-
δίας | καὶ Διὸς Πολιέως καὶ | Ἀρτάμιτος Κεκοίας.

Ross, Archäol. Aufs. II p. 604 n. 15.

---

191 Lindi in fragmento marmoris caerulei.

A	*B*
Ἱερεὺς Ἀθάνας Λινδίας	Ἀρχιεροθύτας
καὶ Διὸς Πολιέως	Τιμασαγόρας Τιμ...
Κλητόδωρος Κλητοδώρου	Ἱεροθύτας
καθ' ὑοθεσίαν δὲ Ἀμφιτιμίδα.	Κρίτων Δαμα....

Ross, Archäol. Aufs. II p. 604 sq. n. 16.

---

192 Tituli sepulcrales hominum privatorum.

1 Ἀγαθάνασσα | Ἀγαθοκλεῦς | Κασαρίς. — Ross Hellen. p. 103 n. 28.

2 Ἀναξαρέτα | Εὐφράνορος | Δρυΐτις, | γυνὰ δὲ | Εὐρυκράτευς. — Ross Hellen. p. 102 n. 25.

3 Ἀριστίωνος | Τιμασιπόλιος | Παγίου. — CIG. 2540. Ross l. l. 103 n. 29.

4 Νικασιβούλας | Ἀριστομένευς | Ποντωρηΐδος. — Ross l. l. 103 n. 27 *b*.

5 Νυμφόδοτος | Ῥοδοκλεῦς | Κασαρεύς. — Martha Bull. Corr. Hell. II p. 617 n. 7.

6 Πολυάρατος | Ἀριστίωνος | Ποντωρεύς. — Ross l. l. 103 n. 27 *c*.

7 Ποσειδώνιος | Εὐελθίδα | Δρυΐτας. — Ross I. I. 102 n. 24.

8 Χρυσοῦς | Ἀστυμήδευς | Ποντωρηΐδος |
καὶ τοῦ ἀνδρὸς αὐτᾶς. — Ross I. I. 103 n. 27 *a*.

---

193 Rhodi.

Ὁ δᾶμος ὁ Ῥοδίων | ἐτίμασε | Γάϊον Ἰούλιον | Θεύπομπον
5 Ἀρτεμιδώρου ‖ ἀρετᾶς ἕνεκα καὶ εὐνοίας | ἂν ἔχων διατελεῖ |
εἰς τὸ πλῆθος τὸ Ῥοδίων.

Foucart, Rev. arch. N. S. 13 (1866) p. 157 n. 9. Theopompus etiam in aliis titulis Asiae commemoratur, e. g. Le Bas Voy. arch. III 1572; cf. huius delectus n. 166.

---

194 Ansae vasorum prope Olbiam repertorum, quae Rhodo oriunda esse putantur.

1 (1) Ἀγοράναχτος. | Ἀρταμητίου. sic

2 (10) [Ἀστ]υνόμου | Ἱρωνύμου τοῦ | Ἱρωνύμου τοῦ |
[Π]οσειδονίου. | [Ἱ]στιαῖος.

3 (11) Ἐπ' ἱερέως Ξυνοφάνευς.

4 (13) Ἀρταμιτίου. | Ἀγαθοκλέ[ους].

5 (14) Ἀστυνομο[ῦ]ντος | Ἀριστοκλέους τοῦ |
Μαντιθέου. | [Μ]ενίσκος.

6 (17) Ἀστυνομοῦντ[ος Αἰ]‖λίου τοῦ Μην...

Neue Jenaische Lit.-Zeit. 1842 n. 180. — Literarum formae sunt aetatis Romanae. Nomina, quae vasis inscripta sunt, partim figulorum sunt partim magistratuum eponymorum partim mensium.

---

195 Ansae vasorum Rhodiorum Alexandriae in Aegypto repertae.

1 (I 37) Ἀσκλαπιάδα.

2 (I 58) Εἰρηνίδα.

3 (I 83) Θεύδωρος.

4 (I 86) Ἱεροκλεῦς.

5 (I 89) Ἴμα.

6 (I 96) Καλλίους.

7 (I 109) Μάνευς.

8 (I 114) Μενοθέμιος.

9 (I 163) Τίμους.

10 (II 2) Ἀρταμιτίου. Ἀγαθοκλεῖς.

11 (II 4) Ἐπὶ Ἀγαστοφάνευς. Δαλίου.

12 (II 12) Ἐπὶ Ἀλεξιάδα. Βαδρομίου.

13 (II 15) Ἐπὶ Ἀμφείδευς. Ὑακινθίου.

14 (II 20) Ἐπ' ἱερέως Ἀνδρία. Δαλίου.

15 (II 47) Ἐπὶ Ἀριστοπόλιος. Πανάμου.

16 (II 49) Ἐπὶ Ἀριστρατοδάμου. Ἀγριανίου.

17 (II 68) Ἐπὶ Ἀτίμους. Πανάμου δευτέρου.

18 (II 79) Ἐπὶ Δευφάνευς.

19 (II 83) Ἐπ' ἱερέως Δορκυλίδα.

20 (II 116) Ἐπὶ Κληνοστράτου. Ἀρταμιτίου.
Ἐπὶ Κλεινοστράτου. Δαλίου.

21 (II 117) Κλεισιμβροτίδα. Ἀγριάνιος.

22 (II 125) Ἐπ' ἱερέως Λαφείδευς. Δαλίου.

23 (II 129) Μαρσύα. Πεδαγειτνίου.

24 (II 167) Ἐπὶ Τειμαγόρα.
Ἐπὶ Τιμαγόρα. Ζμινθίου.

25 (II 170) Ἐπὶ Τιμασαγόρα. Ὑακινθίου.

26 (II 175) Ἐπ' ἱερέως Τιμορρόδου.
Ἐπ' ἱερέως Τιμουρρόδου. Ἀγριανίου.

27 (II 187) Ἐπὶ Χρυσαθέως. Πανάμου.

on Rhodian months, see Pelon [illegible]

ἐδον with gen. loci is a periphrasis for 'please to be at π. εὐρώστης.
Prom. 734 ff. Λήμνου Phil. 1464
Lat. γελῶος and γελαῖος Pape.

Edidit Τάσσος Δ. Νέρουτσος, Ἀθήναιον III (1874) p. 243—245. — Nomina vasis inscripta sunt aut figulorum aut sacerdotum eponymorum adiunctis mensibus. Literarum formas aetatis partim Macedonicae partim Romanae esse testatur Nerutsus p. 225.

---

2. Tituli Gelenses et Agrigentini.

196 Lamina aenea Olympiae reperta.

Παντάρες μ' ἀνέθεκ[ε] Μενεκράτιος Διὸ[ς ἄθλον]
[ἅρματι (?) νικάσας πέδο(υ) ἐκ κλε(ι)το(ῦ) Γελοαί(ου).

Rob. p. 322. IGA. 512 *a*. — Purgold vidit Pantarem intellegendum esse patrem Cleandri et Hippocratis tyrannorum Gelensium (Hdt. VII 154), ita ut titulus seculo sexto exeunti recentior esse putari vix possit.

1 Μενεκράτιος: cf. Τιμοκράτιος n. 40, 166. Ἀγασικράτιος in titulo Calauriae reperto, Le Bas Voy. arch. II n. 1754.

---

197 In astragalo aeneo in Sicilia reperto, qui asservatur in Britannia.

Τὸν Γελῶον ἐμί.

CIG. 8521. IGA. 513.

---

198 [= 72] Marmor ad montem Leocatae sive Alicatae civitati proximum a. 1660 effossum.

Ἐπὶ ἱεραπόλου Ἀριστίωνος | τοῦ Ἰστιείου, κατενιαυσίου | Σώσιος τοῦ Νυμφοδώρου. |
Βουλᾶς ἁλίασμα τᾶ(ς) δευτέρας ἐξαμήνου, Καρνείου τριακάδι· προστάτας | Ἱπποκλῆς Ἱπποκλέος· στεφάνου | γυμνασιάρχῳ. Ἔδοξε τᾷ ἁλίᾳ | καθὰ καὶ τᾷ βουλᾷ· ἐπειδὴ ὁ ἀρημένος γυμνασίαρχος ἐς τὸν σᾶτες || ἐνιαυτὸν Ἡρακλείδας Ζωπύρου | ἐπιμέλειαν πεποίηται τῶν τε | ἐφήβων καὶ νεωτέρων καὶ τῶν | ἄλλων τῶν ἀποδυομένων εἰς τὸ | γυμνάσιον τά τε ἄλλα τὰ κατὰ τὸ || γυμνάσιον καλῶς διαπεπραγμέ[νος

ἐστὶ ἄξια πράσσων αὑτοῦ τε | καὶ τᾶς τῶν προ[γό]νων ἀρετᾶς, | καλῶς οὖν ἔχον ἐστὶ στε|φανῶσαι ἐν τᾷ ἁλίᾳ τὸν γυ‖μνασίαρχον Ἡρακλείδαν Ζω|πύρου ἐλαίου στεφάνῳ ἐπιμε|λείας ἕνεκεν καὶ φιλοπονίας | τᾶς κατὰ τὸ γυμνάσιον. Τὸ δὲ | δόγμα τόδε κολαφθὲν εἰς στά|λαν ἀναθέμειν εἰς τὸ γυμ|νάσιον· εἰς δὲ τὰν κατασκευὰν | τᾶς στάλας ἐξοδιάξαι τὸ τρι|ακοντάμερον, καθά κα [ἁ] βουλὰ | καταναγραφήσῃ· ‖ Ὁ δᾶμος τῶν Γελῴων ἐπαινεῖ | καὶ στεφανῷ τὸν γυμνασίαρχον | Ἡρακλείδαν Ζωπύρου ἐλαίου στε|φάνῳ ἐπιμελείας ἕνεκεν καὶ φι|λοπονίας τᾶς κατὰ τὸ γυμνά|σιον. |

Ἔφηβοι οἱ στεφανωθέντες· | Ἀσκλαπιάδας Ἀσκλαπιάδα, | Ἀρτέμων Εὐθύμου, | Ἄνταλλος Ἀντάλλου, ‖ Πολύξενος Ἀγαθάρχου, | Πρώταρχος Πρωτάρχου, | Γελῷος Γοργύλου, | Ἀριστίων Νυμφοδώρου, | Σωσίπολις Ἰσιδώρου, ‖ Νίκαρ[χ]ος Πυρρωνίδου, | Ἀπολλώνιος Σατύρου, | Ζώπυρος Ἡρακλείδα. χαιρ.....

CIG. 5475. Decretum senatus et populi Gelensium, quod hoc titulo continetur, primo a. Chr. seculo antiquius putari non posse affirmat Franz.

28 ΑΚΟΝΤΑΜΕΡΟΣ. — 29 ΚΑΤΑΝΟΓΡΑΦΗΣΗΙ: coni. aor. act. — 31 στεφανῷ: item scriptum est n. 156, 17. — 45 ΠΥΡΡΩΜΙΝΟΥ. — 46 ΣΑΤΡΡΟΥ. — 47 ΧΛΙΡ.

---

199 [= 73] Tabula aenea, quae nunc Neapoli in museo regio asservari dicitur.

Ἐπὶ ἱεροθύτα | Νυμφοδώρου τοῦ Φίλωνος, | παραπροστα[τούσας] τᾶς βουλᾶς, | προεδρευούσας τᾶς φυλᾶς ‖ τῶν Ὑλλέων, προαγοροῦντος | Διοκλέος τοῦ Διοκλέος, | γραμματεύοντος Ἀδρανίωνος Ἀλεξάνδρου, | ἁλίασμα ἕκτας δι μήνου, Καρνείου ἑξήκο[ν]τος πάντᾳ, | ὑπὲρ προξενίας Δημητρίῳ Διοδότου Συρακοσίῳ. ‖

Ἔδοξε τᾷ ἁλίᾳ καθὰ καὶ τᾷ συνκλήτῳ· ἐπειδὴ ἀνάγ|γελλον οἱ πρέσβεες οἱ ἐς Ῥώμαν πορευθέντες, Πασίων | Πασίωνος Κότητος καὶ Θεόδωρος Θεοδώρου Ξηνιάδα, | Δημήτριον Διοδότου Συρακόσιον πολλὰς καὶ μεγάλας χρείας | παρεισχῆσθαι τῷ ἁμῷ δάμῳ καὶ μεγάλων ἀγαθῶν παραίτιον ‖ γεγόνειν, τοῖς δὲ Ἀκραγαντίνοις πάτριόν ἐστι καὶ ἐκ

ἢ δοκεῖ αὐτὸν στεφανῶσαι 'Wilcken'. D.S. 338 Calypsoleia
followed by αἱ δέ δα δόξει.

πῶς ποῖ τὸ a place

ἀγὼν ἐπὶ τῶν importation.

Δονὲ τῇι : ahenn 361

προγόνων | παραδεδομένον τιμεῖν τοὺς ἀγαθοὺς ἄνδρας καὶ προισταμέ|νους τοῦ ἁμοῦ δάμου ταῖς καταξίοις τιμαῖς· | δε- sic
δόχθαι ἐπὶ ἀγαθᾷ τύχᾳ καὶ σωτηρίᾳ τοῦ δάμου τῶν Ἀκραγαντίνων, | εἶμειν πρόξενον καὶ εὐεργέταν Δημήτριον Διοδό-
20 του Συρακόσι‖ον, ὅπως πᾶσι φανερὸν ᾖ, ὅτι ὁ δᾶμος τῶν Ἀκραγαντίνων ἐπί|σταται χάριτας ἀπονέμειν καταξίας τοῖς εὐεργετεῖν προαι|ρουμένοις αὐτόν. Τὸ δὲ δόγμα τόδε κολάψαντας ἐς χαλκώ|ματα δύο τὸ μὲν ἓν ἀναθέμειν εἰς τὸ βουλευτήριον, τὸ δὲ | ἄλλο ἀποδόμειν Δημητρίῳ Διοδότου
25 Συρακοσίῳ ὑπό‖μναμα τᾶς ποτὶ τὸν δᾶμον εὐνοίας· τοὺς δὲ ταμίας | ἐξοδιάξαι ἐς τὰ προγεγραμμένα, ὅσον κα χρεία ᾖ, καὶ φέ|ρειν τὰν ἔξοδον διὰ τῶν ἀπολόγων. — | Ὁμογνώμονες τοῦ συνεδρίου πάντες.

CIG. 5491. — Hoc decretum a. 211 a. Chr. factum esse van Vaassenum secutus putat Franz.

12 Ξηνιάδα: Ahrens Dial. II 190 postulat Ξεινιάδα. — 14 παρεισχῆσθαι: cf. ad n. 132, 5. — ΠΑΡΑΙΤΙΟΣ.

---

200 Lamina aenea Dodonae reperta.

[Θεὸς] Τύχα ἀγαθά. |
[Ἐπὶ π]ροστάτα Λευ[χ]άρου, ἀφικομένω|ν Ἰπ-
5 ποσθένεος, Τει[σιο]ς, Ἔρμωνος, Σελί|νιος, ἔδο-
ξε τοῖς | Μολοσσοῖς προ|ξενίαν δόμειν | τοῖς
10 Ἀκραγαντί‖νοις.

Carapanos, Dodone V n. 5 (p. 52) = tab. 28, 2. Repetiit Fick Bzb. Btr. III (1879) p. 271, qui titulum immerito dialecto Epirotarum adscripsit; nam ab homine Agrigentino aeri inscriptus esse putandus est propter δόμειν formam Rhodiam.

4 sq. Τει[σιο]ς, Ἔρμωνος: ita Fick; Carapanos scripserat Τει|χέρμωνος; ab initio versus 5 exstat <.

---

201 Lamina plumbea Dodonae reperta.

A

Τύχα ἀγαθά. Ἤ τυγχάνοιμί κα ἐμπορευόμενος | ὅπυς κα δοκῇ σύμφορον ἔμειν, καὶ ἄγων τῇ κα δοκῇ | ἅμα τᾷ τέχνᾳ χρεύμενος.

B

(in eodem latere literis debilioribus:)

Τὸν Δία τὸν Δωδωναῖον.

Carapanos, Dodone VI n. 18 (p. 78 sq.) = tab. 37, 4. Fick Bzb. Btr. III p. 284. — Titulum aut Rhodo aut ex aliqua colonia Rhodiorum ortum esse dialectus docet (ἔμειν, χρεύμενος). Itaque eum Agrigentum rettuli, quia constat Agrigentinos consilio Iovis Dodonaei usos esse; cf. n. 200.

C. I. G. 5368 D. S. 430

PARS TERTIA.

TITULI GRAECIAE SEPTENTRIONALIS PRAETER THESSALIAM CUM ELEIS ET ACHAICIS.

Inter eas dialectos, quas hac parte comprehendi, Elea et Boeotica plurimum a ceteris differunt. De Achaica, Acarnanica, Epirotica dialectis certo iudicari non potest propter tenuitatem monumentorum, quae exstant. Aliquanto minus etiam compertum habemus, quali sermone indigeno Phthiotae, Aenianes, Oetaei usi sint; nam qui exstant tituli scripti sunt sub dominatione Aetolorum, quae quantum valuerit ad mutandum sermonem sociorum vidimus iam in titulis Laconicis n. 30. 32 et Messeniis n. 45. 47. Eadem causa effecit, ut dialectus titulorum Delphicorum recentiorum a vetustiorum dialecto non nihil differat. Nam Delphi foederi Aetolico subiecti fuerunt inde ab a. 290 usque ad a. 191 a. Chr. Cf. Buecher, De gente Aetolica Amphictyoniae participe (Bonnae 1870) p. 23; A. Mommsen, Philol. 24 (1866) p. 38. Atque etiam post hanc aetatem sermonem et instituta Aetolorum Delphis servata esse luculente confirmatur actis manumissionum, e quibus nonnulla exempla infra repetita sunt (n. 211 sqq.). De historia foederis Aetolici copiosius egerunt Kuhn, Rhein. Mus. 15 (1860) p. 9 sqq. et Buergel, Die pylaeisch-delphische Amphiktyonie, München 1877.

X. Tituli Delphici.

1. Tituli vetustiores.

202 Ara apud Crissam reperta.

Τάσδε γ' Ἀθαναίᾳ δ.....σφα.|.αριστος ἔθεκε
Ἔρᾳ τε, ὃς καὶ κ|ε(ῖ)νος ἔχοι κλέϝος ἄπθιτον αἰϝεί.

CIG. 1. Kirchhoff, Philol. VII (1852) p. 191 sqq. Kaibel Epigr. Gr. 742. Roehl IGA. 314. Versus βουστροφηδὸν scripti sunt.

Inl. occ. 228

203 In saxo Delphis ad fontem Castalium reperto.

[Τ]οὶ πεντεκαίδεκα | τον Λαδυαδαν τὸν | Θ[ρα]-
σύμαχον, καὶ [τ]αμ[ίαι] ἐπὶ Τριχᾶ ἄρχον[τος]
ἀπέδειξαν μνᾶ|ς δεκατέτορες κα[ὶ] | ἐμιμναῖον
κα|ὶ δραχμὰς πεντ|έ[ϙ]οντα καὶ ϝέξ.

Rol. 229. WF. 480. IGA. 319. — Sententia obscura.

1 [Τ]οί: suppl. Fick, Göttg. gel. Anz. 1883 p. 122. — 6 δεκατέτορες: acc. plur. in -ες exiens etiam n. 264. 267. In titulo Delphico quarti seculi apud Le Bas Voy. arch. II 854 leguntur inter alios numeros: ὀβελοὺς τέτορας 10. 14, τετρόχον[τα] 16, ἡμιοβέλους χαλκέους τέτορας 26.

---

204 vide pp. 143—145.

---

2. Tituli sub dominatione Aetolorum scripti.

A. Decreta publica.

205 [= 82] Delphis in muro polygonio.

Θεοί.

Στραταγέοντος Ἀρχίσωνος, ἔδοξε τοῖς συνέδροις· | Ἀθανίωνι Πάτρωνος Δελφῶ τὰν ἀσφάλειαν εἶμεν | καὶ ἀτέλειαν πάντων καὶ ἀσυλίαν καὶ αὐτῶ καὶ τοῖς αὐτοῦ, | ἐπιμελομένω τᾶς πανοπλίας ἃν οἱ Ἀμφικτίονες ἀνα‖τίθεντι καὶ τοῦ γυμνασίου καὶ τᾶς παστάδος τᾶς μεγά|λας καὶ τῶν ἐργαστηρίων καὶ τοῦ ναοποιοῦ ἐπιμελομένω· | εἶμεν αὐτῶ τὰν ἀσφάλειαν, καθώς κα οἱ σύνεδροι καὶ ὁ ἀρχι|τέκτων συντάσσοιεν, καὶ εἴ κά τις αὐτὸν ἀδικῇ, τοὺς ἀντι|τυγχάνοντας συνέδρους τὰν ἐπιμέλειαν ὑπὲρ αὐτὸν ‖ ποιεῖσθαι.

WF. n. 1. Decretum Amphictyonum.

τῶν Λαδυάδων τῶν θεῶν συμμάχων καὶ γαμόρων Comparelli
γαμιᾶν Fiak

[Π]υθέο(υ) ἄρχοντος ἐπὶ τῆς Ἱπποθ[ω]ντίδος τρίτης [πρυτανευούσης]. . . . . .
Ὅρ]κο[ι]·
Δικα[ξέω τ]ὰς δίκας ὥς κα δ[ικ]αιοτάτα(ι) γνώμᾳ [τὰ] μὲγ γε[γρ]αμ[μένα . . . . . , περὶ ὧν δὲ μὴ γέ]-
γρα[πται, κ]ατὰ γνώμαν τὰν αὐτο(ῦ) καὶ [ἕτ]ερα ἀ[νὰ] τὰν δ[ίκ]αν οὐ . . . . . [οὐδέ]-
ποκα· [κα]ὶ τὰ καταδικασθέντα ἐκπραξέω ἐν δ[ύ]νασιν [κα]ὶ τασα . . . . . .
τοιε.οντ.οὐδὲ τῶν χρημάτων τῶν ἀμφικτιονικῶν ὑπο[βαλέομαι οὐδέν . . . . . αὐτῷ]
ἐμ[ν γ]α οὐδ' ἄλλῳ δωσ[ῶ] τῶγ κοινῶν χρημάτων . . . . . ετ. . . . . [ὀμνύω κὰτ]
τ[οῦ] Ἀπόλλωνος τοῦ Πυθίο(υ) καὶ τᾶς Λατο(ῦ)ς καὶ τᾶς Ἀρτάμι[τος, καὶ εὐορκέοντι μέμ μοι περὶ ταῦτα γίνοιτο πάντα τὰ κα]-
λὰ καὶ τἀγαθά, αἰ δ' ἐφιορκέοιμι, τὰ κακὰ ἀντὶ τῶν ἀγαθῶν . . . . . [ὀμνύω . . . . . τῶν γ]-
εγραμμένων μὴ ἀπογραψέν, ἀλλ' ὧν κὰ(τ) τὰ τοὶ ἱερομνάμονες κε[λευσόντι?] . . . . . .
κ[ὰ]τ) τὰ[ν] ἀξίαν μηδὲ δῶρα δεξεῖ[σ]θαι μηδέπ[ο]κ[α], οὕτ[ω]ς ὑπ[ι]σχ[ό]μ[ενος ὀμνύω κὰτ τοῦ Ἀπόλλωνος τοῦ Πυθίου καὶ τᾶς Λα]-
τοῦ(ς) καὶ τᾶς Ἀρτάμιτος, καὶ εὐ[ορ]κέοντι μέμ μ[ο]ι πολλὰ καὶ ἀγαθὰ [γίνοιτο, αἰ δ' ἐφιορκέοιμι, τὰ κακὰ ἀντὶ τῶν ἀγαθῶν. Τὸς δὲ]
ἱερομνάμονας ὁρκιξέω καὶ τὸς κά[ρ]υκας τὸν αὐτὸν ὅ[ρ]κον, τόμ[περ καὶ αὐτὸς ὤμοσα?] . . . . . .
τὸμ φόρον καὶ τὰ ἱερήϊα ἀθρόα συναγόντων, τὸς ὄνος τὸν δοκιμα . . . . . [ἐπὶ τὰν ἐκ]-
ατόμβαν ὅ[ρ]κον ὀμόσας εἶπερ τοὶ ἱερομνάμονες, δοκιμαζέτω. Π[έροδος τᾶς ἱαρᾶς γᾶς· αἴ τίς κα τὰν γᾶν ἐπιερ]-
γάζ[η]τ[αι], ἂν Ἀμφικτίονες ἰάρωσαν, ἐπεί κ[α] ἁ πέροδος γίνηται, ἀποτ[ινέτω] . . . . . .
στατῆρας Αἰγιναῖος κὰτ τ[ὸ] πέλεθρον ἕκαστον· τοὶ δὲ ἱερομνάμο[νες περιιόντων τὰν . . . . . γᾶν . . . . .]
καὶ π[ρασ]σόντων τὸν ἐπιεργαζόμενον· αἰ δὲ μὴ περιιεῖεν ἢ μή π[ράσσοιεν, ἀποτινόντων πελέθρου ἑκάστου, οὗ μὴ περιῇεσαν?]

μηδὲ [ἔπ]ρασσον, τριάκοντα στατῆρας· αἰ δέ κα μὴ ἀποτίνῃ ὁ [ἱερομνάμων ὁ ὀφείλων, ἁ πόλις ἐξ ἃς κ' εἶ ὁ ἱερομνάμων,]
20 εἰλέσ[θω τ]οῦ ἰαροῦ, καὶ στρατευόντων ἐπ' αὐτὸς Ἀμφικτύονες, [κὰτ τά κα τοὶ ἱερομνάμονες .....ἐπαγγέλ]-
λωντ[ι. Ἐπὶ] τᾶς ἱερᾶς γᾶς κόπρον μὴ ἄγεν μηδεμίαν· οἰκήσιος ἐπι.....
ενειδια . ἐπὶ θαλάσσᾳ, τὰς δὲ παστάδας κοινὰς εἶμεν πάντεσσι .....[μι]-
σθὸν μηδένα φέρεν μηδενὶ μηδ' ἐνοικὲν τὸν αὐτὸν πλέον τριάκ[οντα ἀμερᾶν] .....
ἐνοικὲ[ν] μηδεμίαν, μηδὲ μύλαν ἐνεῖμεν μηδὲ ὅλμον. Αἰ δέ τίς .....[τοὶ ἰ]-
25 αρομνά[μ]ονες ζαμιο(ύ)ντων, ὅτινί κα δικαίῳ σφιν δοκῇ εἶμεν ἐπ[ιζαμίῳ, τὸ δ' ἥμισυ τοῦ ἐπιζαμίου ἔστω τῶν?]
καταγ[γελ]λόντων πὸτ τὸς ἰαρομνάμονας. Λῶτις· ἁ λῶτις τᾶς ἀμφ[ικτιονικᾶς.....στατῆρες]
Αἰγιναῖοι· τὸ δ' ἀμπέχονον πεντήκοντα καὶ ἑκατὸν στατῆρ[ες Αἰγιναῖοι· .....πορπαμά]-
των ἑκατὸν στατῆρες Αἰγιναῖοι· τὰς στεφάνας ἑκατὸν στατ[ῆρες Αἰγιναῖοι] .....
δέκα στατῆρες Αἰγιναῖοι· τᾶς ἀσπίδος διακάτιοι στατῆρες Αἰγ[ιναῖοι..... στα]-
30 τῆρες Αἰγιναῖοι· λόφου πεντεκαίδεκα στατῆρες Αἰγιναῖοι· δόρατ[ος.....στατῆρε]-
ς Αἰγιναῖοι· καὶ τὰ πορπάματα καὶ ἁ στεφάνα χρύσεα ἐόντων π[άντα] .....
ἐνέστω· [τ]οῦ βοὸς τιμὰ τοῦ ἥρωος ἑκατὸν στατῆρες Αἰγιναῖοι· τᾶς .....[στατῆρας Αἰγιναῖος]
ὀφειλέτω· χρηστήριον αἴ τίς κα μὴ παρέχῃ, ἑκατὸν στατῆρας ὀφε[ιλέτω] .....
ς ἔφοδον θύεν ἐν Ἀνεμαίαις τριετεύαν κηὔαν [τ]ῷ (Ἀπόλλωνι), τριετεύαν κηῦ[αν] .....
35 ιος τὸν ναὸν τοῦ Ἀπόλλωνος το(ῦ) Πυθίο(υ) καὶ τὰν αὐλὰν καὶ τὸν τᾶς Ἀρτάμι[τος ναὸν? ..... καὶ τὸν]
δρόμον καὶ τὰν κράναν τὰν ἐμ πεδίῳ τοὶ ἰαρομνάμονες τοὶ Ἀμφικτιόν[ων..... κατὰ Πυθιάδα ἑκά]-
σταν ἐφακείσθων πρὸ Πυθίων, ὅτινός κα δέωνται· αἴ κα μὴ τοὶ ἰαρομνάμο[νες] .....
ἐν τᾷ • Πυθιάδι τᾷ (παρᾷ ἐπικοσμήσωντι, ὅτινός κα δέωνται, ἀπο[τεισάτω ὁ ἰαρομνάμων ὁ μὴ ἐπικοσμήσας] .....

στατῆρας Αἰγιναῖος· αἴ κα μὴ ἀποτίνῃ τοῖς ἱερομναμόνεσσι το[ῖς Ἀμφικτιόνων ὁ ἱερομνάμων ὁ ὀφείλων, εἰλέσθω τοῦ ἱ]-
40 αροῦ ἁ πόλις, ἐξ ἃς κ' εἶ ὁ ἱαρομνάμων, ἔντε κα ἀποτείσῃ. Ὁδῶν τα.....[καὶ τ]-
ὰς γεφύρας ἐφακεῖσθαι Ἀμφικτίονας κὰτ τὰν αὐτο(ῦ) ἕκαστον χ[ώραν?].....
μὴ σίνηται· καὶ τοῦ δρόμου τοὺς ἱαρομνάμονας τοὺς Ἀμφικτι[όνων ἐπιμελεῖσθαι?.....δ]-
έηται, καὶ ζαμιούντων τοὶ ἱαρομνάμονες· κὴπὶ τοῖς ποταμοῖς .....[Ἱερομηνί]-
α Πυθιάς· ἐνιαυτία ἁ ἱερομηνία ἁ Πυθιὰς ἴσα πάντεσσι ἐκ τᾶς.....
45 Πύθια δ' ἀγόντων τοῦ Βουκατίου μηνὸς τοῦ ἐν Δελφοῖς, τὸς δὲ π.....[Δ]-
ελφοὶ τοῦ Βυσίου μηνός· αἰ δέ κα μὴ πέμπωντι, ἀποτεισάντω[ν .....στατῆρας Αἰγιναῖος].....
πὸτ τὸν θεὸν κὰτ τὰ πάτρια διδόντων τοῖς Δελφοῖς· αἰ δέ κα μ[ὴ διδῶντι.....ῆ]
...ωνται τὰν ἐκεχηρίαν, εἰλέσθων τοῦ ἱαροῦ.....
.....[τὰν ἐ]κεχηρίαν ἱερομ.....ρο.....

CIG. 1688. Ahrens Dial. II p. 484. Koehler CIA. II 545. — Est lex Amphictionica a. 380 a. Chr. lata, Athenis lapidi incisa et publice proposita.

8 Λατο(ῦ)ς: Λατός Ahrens Dial. II 174, quem Koehler secutus est. — 9 ΕΦΙΟΡΚΕΜΙΟΙ. — 13 fin. ΡΟΜ. — 19 ΡΑΣΣΩΝ. — 26 ΚΑΞ/ Γ···ΛΟΝΤΩΝΓΟΙΤΟΣ. — Λῶτις: obscurum. — 31 ΓΟΡ-
10 ΝΑΜΑΤΑ. — 34 κηύαν: Boeckhius explicat per καθαρτηρίαν, afferens Hesychii glossas κεῖα· καθάρματα, et κήϊα· καθάρματα. — 38 ΤΑΙ literae deletae. — 41 fin. Υ. — 45 ΑΕΟΝΤΩΝ.

206 [= 85] Delphis in muro polygonio.

Θεοί. |

Ἔδοξε τᾷ πόλει τῶν Δελφῶν· ἐπειδὴ Εὐρ[υ]τίων | Τύχωνος Ταναγραῖος ἱερομναμονήσας εὐεργέ|τας ἐγένετο του ἱεροῦ καὶ τᾶς πόλιος τὰ δίκαια πράσ|σων, δεδόσθαι αὐτῷ καὶ ἐκγόνοις προξενίαν, | προμαντείαν, ἀσυλίαν, ἐπιτιμίαν καθάπερ Δελφοῖς, | προεδρίαν ἐμ πάντεσσι τοῖς ἀγώνεσσι, οὓς ἁ πό|λις ἄγει, καὶ τὰ ἄλλα πάντα ὅσα καὶ τοῖς ἄλλοις | εὐεργέταις καὶ προξένοις· ἄρχοντος Ἡρακλεί‖δα, βουλευόντων Στράτωνος, Κλευφάνευς, | Ἀθάμβου, Αἰνησιδά[μου].

E. Curtius Anecd. Delph. 46. Le Bas Voy. arch. II 874. — Putaverit quispiam hoc decretum Delphorum dominatione Aetolica antiquius esse, quia dat. plur. πάντεσσι, ἀγώνεσσι non in -οις exeunt. Sed haec causa non est, cur hic titulus alii aetati tribuatur quam ceteri in eodem muro scripti. In decreto medii seculi secundi n. 209, 5 scriptum est πάντεσ(σ)ι τοῖς ἀγώνοις; et in actis manumissionum saepius legitur μάρτυρες (e. g. WF. 22. 26. 42. 43. 44) pro volgari Aetolico μάρτυροι.

2 Εὐρ[υ]τίων: lacunam quatuor fere literarum in medio hoc nomine indicavit Le Bas. — 11 Ἀθάμβου, Αἰνησιδά[μου]: desunt apud Lebasium.

---

207 Delphis.

Θεοί. |

Ἄρχοντος Κλεοδάμου, βουλευόντων Ἀμύντα, Θεοφράστου, Πραξία, ἔδοξε τᾷ πόλει τῶν | Δελφῶν· ἐπειδὴ ἐπανελθόντες θεωροὶ οἱ ἀποσταλέντες ἐπὶ τὰν ἐπαγγελίαν τῶν Πυ|θίων Ἀμύντας καὶ Χαρίξενος ψάφισμά τε ἀνήνεγκαν παρὰ Χερσονασιτᾶν τῶν ἐ[κ τ]οῦ ‖ Πόντου καθὼς ἦν λελυτρωμένοι ὑπ' αὐτῶν καὶ πεπολυωρημένοι ἐμ πάντοις κ[αὶ αὐ]τοὶ διέλεγεν ἀκολούθως τοῖς γεγραμμένοις ἀπολογιζόμενοι ἂν ἔχοιεν αἵρε|σ[ιν] | ποτὶ τὰμ πόλιν τῶν Δελφῶν καὶ κοινᾷ καὶ καθ' ἰδίαν πάντοις, καὶ νῦν ἀποστείλα[ντες] | Φορμίωνα καὶ Ἡρακλείδαν θυσίαν συνετέλεσαν τῷ θεῷ ἑκατόμβαν βούπρω[ιρον καὶ] | δωδεκαΐδα βούπρφρον τᾷ Ἀθάνᾳ καὶ τὰ κρέα τᾶμ βοῶν διένειμαν τοῖς πολ[ίταις], ‖ ἐποιήσαντο δὲ καὶ αὐτοὶ τὰν ἐν- sic

πολυωρέω ecclesiastic Aquil.

ἐκ. βούπρῳρος L.S. 100 ships and one ox (or 99 ships and one ox?) Plut. 2. 668C.

6. ἀλλ' ἐπὶ τοῖς αὐτοῖς οἱ αὐτοὶ ἔνδρχοι

δαμίαν καταξίως καὶ αὐτῶν καὶ τῶν ἀποστειλάν|των αὐτούς· δεδόχθαι τᾷ πόλει τῶν Δελφῶν, ἐπαινέσαι τε τᾷ πόλει τῶγ Χερσο|νασιτᾶν τῶν ἐκ τοῦ Πόντου καὶ τοῖς ἀποσταλέντοις ὑπ᾽ αὐτῶν ἐπί τε τᾷ αἱρέσει | ᾗ ἔχοντι καὶ εὐνοίᾳ ποτί τε τὸν θεὸν καὶ τὰμ πόλιν τῶν Δελφῶν, δεδόσθαι δὲ καὶ τᾷ [πόλ]ει τῶν Χερσονασιτᾶν προμαντείαν καὶ τοῖς ἀποσταλέντοις Φορμίωνι καὶ Ἡρα[κλεί]δᾳ προξενίαν· ἀναγράψαι δὲ τὸ ψάφισμα τοὺς ἄρχοντας τοὺς ἐνάρχους ἐν τῶ[ι ἰε]ρῷ τοῦ Ἀπόλλωνος· ἀποστεῖλαι δὲ καὶ ξένια τοῖς παραγεγονότοις Φορμίωνι | [κ]αὶ [Ἡ]ρα[κλε]ΐδᾳ τοὺς ταμίας Χαρίξενον, Διόδωρον.

Haussoullier, Bull. Corr. Hell. VI (1882) p. 214 sqq. n. 49. — Decretum factum est a. 192; cf. Mommsen Philol. 24 p. 31.

---

208 Tei.

Δελ[φῶ]ν. |

[Δεδόχθαι τᾷ πόλει ἐν] ἀ[γ]ορᾷ τελείῳ σὺμ ψάφο(ι)ς • ταῖς ἐν[νόμοις· ἐπεὶ Τή|ϊοι πρεσβευ]τὰς ἀποστείλαντες Πυθαγόραν Κλείτου κ[αὶ Κλεῖτον | Κ]λείτου τάν τε οἰκειότατα καὶ τὰν φιλίαν ἀνενεώσαν[το καὶ Δελφῶν παρεκά]|λεον τὰν πόλιν, ὅπως ἅ τε πόλις καὶ ἁ χώρα αὐτῶν ἐπιχ[ωρηθῇ ἱερὰ εἶ]|μεν καὶ ἄσυλος τοῦ Διονύσου· δεδόχθαι τᾷ πόλει, τάν τ[ε φιλίαν καὶ τὰν οἰ]|κειότατα τὰν ὑπάρχουσαν ποτὶ τοὺς Τηίους διαφυλάσ[σειν καὶ ἐπὶ πλεῖ]ον αὔξειν καὶ εἶμεν αὐτῶν τάν τε πόλιν καὶ τὰ[ν χώραν ἅπασαν] | ἱερὰν καὶ ἄσυλον τοῦ Διονύσου, καθὼς καὶ οἱ πρεσβε[υταὶ παρεκά]|λεον, καὶ εἶμεν αὐτοῖς τὰν ἀσφάλειαν [κα]ὶ ἀσ[υλίαν καὶ πᾶσι] | τοῖς ἐν Τέῳ κατοικεόντοις καθὼς καὶ τοῖς [διονυσιακοῖς] | τεχνίταις. Ὅπως δὲ διαμένῃ τόδε τὸ [δόγμα κύριον] | ἐν τὸ[μ] πάντα τὸν χρόνον, ἀναγράψαι τὸ [ψάφισμα τοὺς] | βουλευτὰς ἐν τῷ ἱερῷ. Ἄρχοντος Μεγάρτ[α, βουλευόντων] || Μνασιθέου, Πρωτάρχου, Ἀθάμβου, Φιλι[στίωνος]. sic

Le Bas, Voy. arch. III n. 84 (= Explic. p. 41). — Decretum pertinet ad alteram earum legationum, quae commemorantur in titulis Cretensibus n. 122 sqq. Nam anno 193, quo Apollodotus et Colotas in oppida Cretensia missi sunt, Delphis archontes fuerunt Pithagoras et post eum Ecephylus (cf. Mommsen Philol.

24 p. 28. 31), non Megartas. Ergo hic titulus triginta aut pluribus annis post a. 193 scriptus esse putandus est.

2 ΥΑΦΟΣΟΤΑΙΣ.

---

209 Delphis ad viam sacram.

Ἀγαθᾷ τύχᾳ. Δελφοὶ ἔδωκαν Νικάνδρῳ | Ἀναξαγόρου Κολοφωνίῳ ἐπέων ποιητᾷ, αὐ|τῷ καὶ ἐγγόνοις, προξενίαν, προ-
5 μαντείαν, | ἀσυλίαν, προδικίαν, ἀτέλειαν πάντων, προε|δρίαν ἐν πάντεσ(σ)ι τοῖς ἀγώνοις οἷς ἁ πόλις τί|θητι, καὶ τἆλλα ὅσα καὶ τοῖς ἄλλοις προξένοις καὶ | εὐεργέταις τᾶς πόλιος τῶν Δελφῶν. Ἄρχοντος | Νικοδάμου, βουλευόντων Ἀρίστωνος, Νικοδάμου, Πλεί|στωνος, Ξένωνος, Ἐπιχαρίδα.

Haussoullier, Bull. Corr. Hell. VI (1882) p. 217 sq. n. 50. — Nicander Colophonius Attali III († 133) aequalis fuit.

---

210 [= 84] Delphis.

[Θ]εὸς τύχαν ἀγαθάν. |

[Ἄρ]χοντος Σωσιπάτρου τοῦ Αἰακίδα, βου|λευόντων τὰν πρώταν ἐξάμηνον Ἀντιγέ|νεος τοῦ Διοδώρου, Ἀγίωνος τοῦ Κλεο-
5 δάμο[υ], || γραμματεύοντος δὲ Ὑβρία τοῦ Ξένωνος· ἐπεὶ | Ἀγίων Κλεοδάμου ἐπελθὼν ἐπὶ τὰν ἐκκλησί|αν διέλεγεν ὑπὲρ Λαΐστα τοῦ Ἀντάνορος Ἡρα|κλεώτα, διότι ἐκτενὴς καὶ εὔνους ὑπάρχει [π]ο|τί τε τὸ ἱερὸν [κ]αὶ τὰν πόλιν τῶν Δελφῶν καὶ
10 περὶ || πλείστου ποιεύμενος τὰν ποτὶ τοὺς θεούς | εὐσέβειαν, αὐτὸς αὑτὸν εὔχρηστον ἐμ παντὶ | καιρῷ παρασκευάζων καὶ κοινᾷ τᾷ πόλει καὶ [κα]τ' ἰδίαν τοῖς ἐντυγχανόντοις τῶν πολιτᾶν, εἰ [δέ] | κά τις αὐτὸν παρακαλῇ, συμποτιγινόμενος μετὰ ||
15 πάσας προθυμίας ἐν οἷς κα τυγχάνωντι χρείαν ἔ|χοντες καὶ λέγων καὶ πράσσων διὰ παντὸς περὶ | τοῦ ἱεροῦ καὶ τᾶς πόλιος τῶν Δελφῶν· ἀγ[α]θ[ᾶ]ι | τύχᾳ δεδόχθαι τᾷ πόλει τῶν Δελφῶν [ἐ]ν ἀγο|ρᾷ τελείῳ σὺμ ψάφοις ταῖς ἐννόμοις, ἐπαι-
20 νέ|σαι Λαΐσταν Ἀντάνορος Ἡρακλεώταν ἐπί τε τᾷ | προαιρέσει ᾇ ἔχων διατελεῖ ποτί τε τὸ ἱερὸν καὶ | τὰν πόλιν τῶν Δελφῶν, καὶ ὑπάρχειν αὐτῷ καὶ ἐ[κ]γόνοις παρὰ τᾶς πόλιος προξενίαν, προμαντείαν, | προδικίαν, ἀσυλίαν, ἀτέλειαν πάν-
25 των, προεδρίαν || ἐμ πᾶσι τοῖς ἀγώνοις οἷς ἁ πόλις τίθητι,

καὶ γᾶς καὶ | οἰκίας ἔγκτησιν καὶ τἄλλα π[άν]τα ὅσα καὶ τοῖς ἄλλο[ις] | προξένοις καὶ εὐεργέταις τᾶς πόλιος ὑπάρχει· ἀνα|γράψαι δὲ τὸ ψ[άφι]σμα τοὺς ἄρχοντας ἐν τῷ [ἰε]‖ρῷ τοῦ Ἀπόλλωνος ἐν τῷ ἐπιφανεστάτῳ ‖ τόπῳ.

Ross, Inscr. Gr. ined. 67. Le Bas, Voy. arch. II n. 882.

B. Acta manumissionis.

Manumissionis servorum apud Graecos varia erant genera. E quibus id, quod fiebat per simulatam venditionem a domino ad deum factam, a foedere Aetolico exeunte seculo 3 institutum esse exposuit Weil, Mitteil. arch. Inst. IV (1879) p. 28.

211 Delphis in muro Pelasgico.

Στραταγ[έ]οντος Θόα τὸ δεύτερον μηνὸς Ἀγυείου, ἐν Δελφοῖς δὲ ἄρχοντος Πειθα|γόρα μηνὸς Ἡρακλείου, ἐπὶ τοῖσδε ἀπέδοτο Μίκκων Ξενώνδα Δελφὸς τῷ Ἀπόλλω|νι τῷ Πυθίῳ σώματα γυναικεῖα τέσσαρα, αἷς ὀνόματα Ἐλευθερίς, Σύρα, Παρθένα, | Παραμόνα, ἀργυρίου μνᾶν δεκαπέντε. Βεβαιωτῆρες κατὰ τὸν νόμον καὶ τὰν ὁμολο‖γίαν· Πολύων Νικάρχου, Ἀρχιάδας Δεξιθέου, Δίων Κλέωνος, Ταραντῖνος Ἄρχωνος. | Παραμενόντων δὲ Σύρα, Παρθένα, Παραμόνα παρὰ Μίκκωνα ποέουσαι τὸ ποτιτασσό|μενον ἄχρι κα ζώῃ Μίκκων· εἰ δέ κα μὴ ποιέωντι τὸ ποτιτασσόμενον ἢ ἄλλο τι κακὸ[ν] | ποιέωντι, ἐξέστω Μίκκωνι κολάζειν, ὥς κα αὐτὸς θέλῃ καὶ ὅν κα Μίκκων κελεύῃ. | Ἐλευθερὶς δὲ ἐλευθέρα ἔστω καὶ ἀνέφαπτος τὸν πάντα βίον, καθὼς ἐπίστευσε τῷ ‖ Ἀπόλλωνι τὰν ὠνάν, κυριεύουσα αὐτοσαυτᾶς καὶ ποιέουσα ὅ κα θέλῃ καὶ ἀποτρέχουσα οἷς κα θέλῃ. Εἰ δέ τί κα πάθῃ Μίκκων, τοῦ θεοῦ ἔστων Σύρα, Παρθένα, Παραμόνα | ἐλεύθεραι οὖσαι καὶ ἀνέφαπτοι τὸμ πάντα βίον, ποιέουσαι ὅ κα θέλωντι, καὶ ἀποπορεύ|εσθαι οἷς κα θέλωντι, καθὼς ἐπίστευσαν τῷ Ἀπόλλωνι τὰν ὠνὰν Σύρα, Παρθένα, | Παραμόνα. Βέβαιον δὲ παρεχόντων τῷ Ἀπόλλωνι τὰν ὠνάν, εἴ τίς κα ἐφάπτηται ‖ αὐτᾶν, οἱ βεβαιωτῆρες Πολύων, Ἀρχιάδας, Δίων, Ταραντῖνος καὶ ὁ ἐπίνομος τῶν | Μίκκωνος· εἰ δέ κα μὴ παρέχωντι, ὑπόδικοι ἐόντων τῷ θέλοντι ὑπὲρ τὸν Ἀπόλλω|να ἐγδικάζεσθαι, κύριοι δὲ ἐόντων καὶ οἱ ἀντιτυγχάνοντες συλέοντες ὡς

ἐλευ|θερᾶν ἐουσᾶν, καθὼς ἐπίστευσαν τῷ Ἀπόλλωνι τὰν ὠνὰν Ἐλευθερίς, Σύρα, Παρθένα, | Παραμόνα, ἀζάμιοι ὄντες καὶ ἀνυπόδικοι πάσας δίκας καὶ ζαμίας. Μάρτυρες· τοὶ ‖ ἱερεῖς Ξένων, Ἄθαμβος καὶ τοὶ ἄρχοντες Εὐκλείδας, Διόδωρος, Μνάσων καὶ ἰδιῶται | Στράτων, Δαμο[χ]άρης, Νικαγόρας Δελφοί.

Haussoullier, Bull. Corr. Hell. V (1881) p. 415 n. 25. — Pithagoras Delphis archon fuit a. 194/3; cf. Mommsen Philol. 24 p. 28.

17 sq. ὡς ἐλευθερᾶν ἐουσᾶν: cf. συλέοντες ὡς ἐλευθέρων ὄντων WF. 314, 14. 404, 18.

---

212 Delphis in muro Pelasgico.

Στραταγέοντος τῶν Αἰτωλῶν Προξένου Τριχονέος μηνὸς | Διονυσίου, ἐν Δελφοῖς δὲ ἄρχοντος Ἀρισταινέτου μηνὸς Ἐνδυσ|ποιτροπίου, ἀπέδοτο Μεγακλῆς Θηβαγόρα Ἀμφισσεὺς τῷ Ἀπό[λ]λωνι τῷ Πυθίῳ σῶμα γυναικεῖον, ᾧ ὄνομα Νίκαια, τὸ γένος Θε[σσα]λὰν ἐξ Σκοτούσσας, τιμᾶς ἀργυρίου μνᾶν δέκα, ὥστε ἐλευθ[έραν] | εἶμεν Νίκαιαν, πολιτεύουσαν αὐτὰν εἴ κα θέλῃ, κυριεύου[σαν] | αὐτοσαυτᾶς, ἐλευθέραν οὖσαν καὶ ἀνέφαπτον ἀπὸ πάντω[ν] | πάντα τὸν χρόνον· παραλαβὼν Μεγακλῆς τὰν ὠνὰν παρὰ [τᾶν] | ἀδελφᾶν τᾶν Εὐμνάστου θυγατέρων, Κρινίου Ἀμφισσίδος, Λ.... ‖ Καλλιπολιτίδος καὶ ὑπὲρ Κλευπάτραν Τριχονίδα Εὐμνάστου Τριχο|νέος, τὰν ἐπίστευσε Νίκαια αὐτοσαυτᾶς ὠνὰν ἐπὶ σωπονπίᾳ Εὐμνά|στῳ τῷ πατέρι αὐτᾶν. Βεβαιωτῆρες· Θεύτιμος Κλεάνδρου Ἀμφισσεύς, | Ἀρχέλαος Θηβαγόρα Δελφός. Μάρτυρες· τοὶ ἱερεῖς τοῦ Ἀπόλλωνος Ξένων, Ἄθαμ[βος] | καὶ οἱ βουλευταὶ Κλέων Καλλιγένεος, Εὐκράτης Καλλίκωνος, ἰδιῶται Πραξ[ας], ‖ Καλλίας, Ἐκέφυλος, Εὔαρχος, Σωτύλος, Ἀνδρόνικος, Μνάσων, Ταραντῖνος, Ἀρχ[έ]λαος Δελφοί, Εὔνικος Φυσκεύς. Δαμαίνετος, Εὔτυχος, Φιλόμηλος, Δαμύλο[ς], | Γενναῖος Ἀμφισσεῖς. Ἁ ὠνὰ παρὰ τὸν ἱερῆ· Ἄθαμβον.

Haussoullier, Bull. Corr. Hell. V (1881) p. 419 sq. n. 32. — Aristaenetus Delphis archon fuit a. 183/2; cf. Mommsen Philol. 24 p. 41.

11 ἐπὶ σωπονπίᾳ: ita, ut pecunia salva permittatur. Cf. Aristoph. Lys. 488 ἵνα τἀργύριον σῶν παρέχοιμεν, et Hesychius: πέμψις· ἐνεχυρασμός (Roehl ad IGA. 112). — 17 I litera deleta.

---

213 Delphis in muro polygonio.

Ἄρχοντος Δαμοσθένεος μηνὸς Βουκατίου, | ἐπὶ τοῖσδε ἀπέ-
δοτο Κλεοβούλα Δελφὶς τῷ Ἀπόλλωνι | τῷ Πυθίῳ σῶμα
γυναικεῖον, ᾧ ὄνομα Ζωπύρα, τὸ δὲ | πρότερον ἦν Σῖμον,
5 τιμᾶς ἀργυρίου μνᾶν δύο, καθὼς ἐ‖πίστευσε Ζωπύρα τῷ θεῷ,
ἐφ᾽ ὥτε ἐλευθέρα εἶμεν καὶ | ἀνέφαπτος ἀπὸ πάντων τὸν
πάντα βίον, ποιοῦσα ὅ κα θέ|λῃ καὶ ἀποτρέχουσα οἷς κα
θέλῃ. Βεβαιωτῆρες κατὰ τὸν | νόμον· Δεξικράτης, Πεισίλαος
Δελφοί. Εἰ δέ τίς κα ἅπτηται | Ζωπύρας τᾶς πρότερον κα-
10 λειμένας Σίμου, βέβαιον παρεχόν‖τω τῶ θεῶ τὰν ὠνὰν ἅ τε
ἀποδομένα Κλεοβούλα καὶ οἱ | βεβαιωτῆρες Πεισίλαος, Δε-
ξικράτης· εἰ δέ κα μὴ παρέχωντι, πρά|κτιμοι ἐόντω κατὰ
τὸν νόμον· ὁμοίως δὲ καὶ οἱ παρατυνχά|νοντες κύριοι ἐόντω
συλέοντες ὡς ἐλευθέραν οὖσαν | ἀζάμιοι ὄντες καὶ ἀνυπόδικοι
15 πάσας δίκας καὶ ζαμίας. Μάρ‖τυρες· ὁ ἱερεὺς τοῦ Ἀπόλ-
λωνος Ἄθαμβος, οἱ ἄρχοντες | Πεισίλαος, Κλεόδημος, Διο- sic
νύσιος Ἀρίστωνος Βοιώτι|ος, Καλλίκων, Ἀγασέας, Ἀριστίων
Δελφοί.

WF. 396. — Damosthenes archon fuit a. 182/1; cf. Mommsen Philol. 24 p. 42.

9 καλειμένας: similia sunt ἀφαιρείμενος WF. 417, 6. 450, 8. χρείμενος WF. 14, 4. Cf. καλειμέναν Phoc. n. 223 *B*, 17.

---

214 Delphis in muro polygonio.

Ἄρχοντος Πραξία μηνὸς Ἀμαλίου, ἀπέ|δοτο Φιλοκράτης Θεο-
φράστου Δελφὸς | τοῖ Ἀπόλλωνι τοῖ Πυθίοι σῶμα ἀνδρεῖον, |
5 οἱ ὄνομα Κῶμος, τιμᾶς ἀργυρίου μνᾶν δεκα‖τριῶν, καθὼς
ἐπίστευσε τοῖ θεοῖ τὰν ὠνὰν Κῶμος. Βεβαι|ωτὴρ κατὰ τὸν
νόμον Πραξίας Εὐδόκου. Κατενενκάτω δὲ Κῶ|μος Φιλο-
κράτει ἀργυρίου μνᾶς δεκατρεῖς ἐν ἐτέοις δεκατρίοις | φέρων
τοῦ ἐνιαυτοῦ μνᾶν ἐν τὸν ἔρανον τὸν Ἀρχελάου· εἰ δέ τι |
πάθοι Φιλοκράτης, κατενενκάτω τὸ ἀργύριον τοῖς ἐπινόμοις

Θεο‖φράστοι, Ξένωνι Κῶμος, ἑκατέροι τὸ μέρος· εἰ δὲ τοῦ ἐπιλοίπου | ἀργυρίου τις ἐνάπτοιτο Κώμου ἢ ἀντιποιέοιτο κατενένκαντος | τὸ ἀργύριον, κύριοι ἐόντω οἱ βουλευταὶ καὶ ὁ θέλων συλέων | ἐπ' ἐλευθερίᾳ, ἀζάμιοι ὄντες καὶ ἀνυπόδικοι. Μάρτυ|ρες· οἱ ἄρχοντες Καλλίας, Δαμένης, Βάκχιος, Ἥρυς Πλείστωνος, ‖ Κλεόδαμος Ἀτεισίδα, Πάτρων Ἰατάδα, Εὔαρχος Μενέστα, Δίκα|ιος, Δέξιππος, Κλέων Ξενοφίλου.

WF. 244. — Praxias archon fuit a. 178/7; cf. Mommsen Philol. 24 p. 42.

---

215 Delphis in muro polygonio.

Ἄρχοντος ἐν Ἐρινεῷ Ἀντιμάχου μηνὸς Λαφρίου, ἐν Δελφοῖς | δὲ ἄρχοντος Ἀνδρονίκου τοῦ Φρικίδα μηνὸς Θευξενίου, | ἐπὶ τοῖσδε ἀπέδοτο Μνασίξενος Πηλεκλέα Ἐριναῖος τῷ | Ἀπόλλωνι τῷ Πυθίῳ σῶμα γυναικεῖον, ᾧ ὄνομα Νικώ, τὸ ‖ γένος Θρᾷσ(σ)αν, τιμᾶς ἀργυρίου μνᾶν τριῶν, καθὼς ἐπίστευσε | Νικὼ τῷ θεῷ τὰν ὠνάν, ἐφ' ᾧτε ἐλευθέραν εἶμεν καὶ ἀνέφα|πτον ἀπὸ πάντων τὸν πάντα βίον. Βεβαιωτῆρες κατὰ τὸν νόμον· | Νικέας Σωσιξένου Δελφός, Νικόμαχος Δεξίππου Δελφός. Παραμεινάτω δὲ Νικὼ παρὰ Μνασίξενον, ἄχρι κα | ζώῃ Μνασίξενος, καὶ ἐκθρεψάτω παιδάρια δύο ἀδόλως, καὶ τὰ λοιπὰ ποιοῦσα τὸ ποτιτασσόμενον ‖ πᾶν τὸ δυνατὸν ἀνεγκλήτως. Εἰ δέ τί κα μὴ ποιήσῃ Νικὼ τῶν ποτιτασσομένων ὑπὸ Μνασιξένου, καθὼς | γέγραπται, δυνατὰ ἐοῦσα, ἐξέστω Μνασιξένῳ κολάζειν καθώς κα αὐτὸς θέλῃ, καὶ ἄλλῳ ὑπὲρ Μνασίξε|νον ὃν κα Μνασίξενος κελεύσῃ, ἀζαμίοις ὄντοις καὶ ἀνυποδίκοις πάσας δίκας καὶ ζαμίας. Εἰ δέ τί κα πά|θῃ Μνασίξενος, ἐλευθέρα ἔστω Νικὼ κυριεύουσα αὐτοσαυτᾶς καὶ ποιοῦσα ὅ κα θέλῃ καὶ ἀποτρέχουσα οἷς κα θέ|λῃ, καθὼς ἐπίστευσε τῷ θεῷ τὰν ὠνάν. Εἰ δέ τίς κα ἅπτηται ἐπὶ καταδουλισμῷ Μνασιξένου τελευτάσαντος, ‖ βέβαιον παρεχόντων οἱ βεβαιωτῆρες τῷ θεῷ τὰν ὠνὰν κατὰ τὸν νόμον· ὁμοίως δὲ καὶ οἱ παρατυγχάνοντες | κύριοι ἐόντων συλέοντες ὡς ἐλευθέραν οὖσαν, ἀζάμιοι ἐόντες καὶ ἀνυπόδικοι πάσας δίκας καὶ ζαμίας. | Μάρτυρες· τοὶ ἱερεῖς τοῦ Ἀπόλλωνος Ἀμύντας, Ταραντῖνος, καὶ τῶν ἀρχόντων Νικόμαχος, ἰδιῶται Ξεναγόρας, Εὐκλείδας, Μένης, Κάρπος Δελφοί, Ξενίας, Καλλίερος, Καλλίστρατος Ἀμφισσεῖς. Ἁ συγγραφὰ παρ' Εὐκλείδαν.

WF. 54. — Amyntas et Tarantinus sacerdotes fuerunt aa. 170—158; cf. Mommsen Philol. 24 p. 8. 47.

3 Πηλεκλέα: cf. Πειλεστροτίδα Boeot. n. 355, 2.

---

216 Delphis in muro polygonio.

Στραταγέοντος τῶν Αἰτωλῶν Παναιτώλου Φυταιέ|ος μηνὸς Ὁμολωΐου, ἐν δὲ Δελφοῖς ἄρχοντος Ξενέα | μηνὸς Βυσίου, ἐπὶ τοῖσδε ἀπέδοτο Κριτόδαμος | Δαμοκλέος Φυσκεὺς τῷ Ἀπόλλωνι τῷ Πυθίῳ || σῶμα ἀνδρεῖον ᾧ ὄνομα Μαιφάτας, τὸ γένος Γαλά|ταν, καὶ γυναικεῖον, ᾇ ὄνομα Ἀμμία, τὸ γένος | Ἰλλύραν, τιμᾶς ἀργυρίου μνᾶν ἑπτά. Παραμεινάτω δὲ | Μαιφάτας καὶ Ἀμμία παρὰ Κριτόδαμον ἄς κα ζώῃ Κριτό|δαμος, ποιέοντες Κριτοδάμῳ τὸ ποτιτασσόμενον· || εἰ δέ κα μὴ παραμείνωντι ἢ μὴ ποιέωντι τὸ | ποτιτασσόμενον, ἀρμένα καὶ ἀτελὴς αὐτοῖς | ἁ ὠνὰ ἔστω. Ἐπεὶ δέ κα τελευτάσῃ Κριτό|δαμος, ἐλεύθεροι ἔστων Μαιφάτας καὶ Ἀμμία | καὶ ἁ ὠνὰ μενέτω τῷ θεῷ, καθὼς ἐπίστευσαν, || ἐφ' ᾧτε ἐλευθέρους εἶμεν καὶ ἀνεφάπτους ἀπὸ | πάντων τὸμ πάντα βίον ποιέοντες ὅ κα θέλωντι | καὶ ἀποτρέχοντες οἷς κα.θέλωντι. Βεβαιωτῆρες | κατὰ τὸν νόμον καὶ τὰν συμβολάν· Φίλων Ἀρι|στέα, Ἀστόξενος Διονυσίου. Μάρτυροι· οἱ ἱερεῖς || Ἀμύντας, Ταραντῖνος, ἰδιῶται Δεξικρά|της, Σώτιμος, Καλλίμαχος, Εὐάγγελος, [Ἁ]|χαιὸς Δελφοί, Λυκ[ίσκ]ος, Μενέδαμος Φυσκεῖς.

WF. 189. — Amyntas et Tarantinus sacerdotes fuerunt aa. 170—158; cf. Mommsen Philol. 24 p. 8. 47.

13 **ΕΖΩΝ**: cf. Blass Ausspr. p. 97.

---

217 Delphis in muro polygonio.

Ἄρχοντος Εὐχαρίδα μηνὸς Δαιδα[φορίου], ἐπὶ τοῖσδε ἀπέδοτο Λίριον συνευδοκέ|οντος καὶ τοῦ ἀνδρὸς αὐτᾶς Θευγένεος [τῷ] Ἀπόλλωνι τῷ Πυθίῳ σῶμα ἀνδρεῖον, ᾧ ὄ|νομα Μάνης, τὸ γένος Παφλαγόνα τιμ[ᾶς] ἀργυρίου μνᾶν τριῶν, καὶ τὰν τιμὰν ἔχει πᾶ|σαν, καθὼς ἐπίστευσε Μάνης τὰν ὠνὰν τ[ῷ θε]ῷ, ἐφ' ὅτῳ ἐλεύθερος ἦται τὸν πάντα χρόνον || ποιῶν ὅ κα θέλῃ. Εἰ δέ τις ἐφάπτοιτο Μάνε[ος ἐ]πὶ καταδουλισμῶ, κύριος ἔστω Μάνης αὐ|σωτὸν συλέων ὡς ἐλεύθερος ὤν· ὁμοίως δὲ κ[αὶ] εἴ τις ἄλλος συλέοι Μάνην ὡς ἐλεύθερον | ὄντα, ἀζάμιος ἔστω ὁ συλέων

καὶ ἀνυπόδικος πάσας δίκας καὶ ζαμίας. Βεβαιωτὴρ κατὰ | τὸν νόμον τᾶς πόλιος Θρασυκλῆς Πραξία. Παραμεινάτω δὲ Μάνης παρὰ Λίριον ἔτη τρία ἀ|νέγκλητος ποιῶν τὸ ποτιτασσόμε[νο]ν τὸ δυνατόν· εἰ [δέ] κ[α] μὴ παραμένη ἀνένκλη|τος Μάνης παρὰ Λίριον, καθὼς γέ[γρ]α[πτ]αι, περὶ οὗ κα ἐπικαλ[ῆ|] αὐτῷ, κριθέντων συνελό|μενοι ἐν ἄνδροις [τρίο]ις· ὅ τι δέ κ[α κρίνων]τι, κύριον ἔστω. Ἄρχει τῶν τριῶν ἐτέων ὁ ἐνιαυτὸς | ὁ μετὰ τὰν Εὐχαρίδα ἀρχά[ν]. Εἰ [δ]έ τι ἀνθρώπινον γένοιτο περὶ Μάνη, εἴ τί κα κατ[αλείπη ὑπά]ρ|χον Μάνης, Λιρίου ἔστω, καὶ μὴ ἔστω ἐξ[ου]σία Μάνει διδόντι μηθενὶ τά κα ἔ[χη?.. Μάρτυ]|ροι· οἱ ἱερεῖς τοῦ Ἀπόλλωνος Πραξίας, Ἀνδρόνικος καὶ οἱ ἄρχοντες Πασίων, [Βαβύλ]ος, || Τιμοκλῆς, ἰδιῶται Μένης, Δάμων Δαμοκράτεος, Ἀντιφάνης, Νικέας, Τιμ[ό]κ[ριτ]ος.

WF. 31. — Praxias et Andronicus sacerdotes fuerunt aa. 153—142; cf. Mommsen Philol. 24 p. 8. 47.

5 sq. αὐ|σωτόν: i. e. αὐτὸς αὑτόν.

---

218 Delphis in muro polygonio.

Ἄρχοντος Στράτωνος τοῦ Ἰατάδα μηνὸς Ἀμαλίου, βουλευόντων Ἐράτωνος, | Νικία, Κλεομάντιος, ἀπέδοντο Γρῖπος καὶ Φιλῳ τῷ Ἀπόλλωνι τῷ Πυθίῳ παιδάρια | δύο οἰκογενῆ, οἷς sic ὀνόματα Φίλιππος καὶ Θεοκλῆς, τειμὰς ἀργυρίου μνᾶν | ἓξ καὶ τὰν τιμὰν ἀπέχοντι πᾶσαν, καθὼς ἐπίστευσαν τῷ Ἀπόλλωνι || Φίλιππος καὶ Θεοκλῆς τὰν ὠνάν. Βεβαιωτῆρες κατὰ τοὺς νόμους τὰς | πόλιος· Πύρρος Δρομοκλείδα, Νικίας Κλέωνος. Εἰ δέ τις ἐ[φ]άπτοιτο Φιλίπ|που ἢ Θεοκλέος, βεβαίους παρεχόντων τῶ θεῶ τὰς ὠνὰς οἵ τε ἀποδόμενοι | καὶ οἱ βεβαιωτῆρες· εἰ δὲ μὴ παρέχοισαν τὰς ὠνάς, πράκτιμοι ἔστω|σαν κατὰ τοὺς νόμους τὰς πόλιος· κύριοι δὲ ἔστωσαν καὶ οἱ παρατυγχάνοντες συλήοντες Φίλιππον καὶ Θεοκλῆν ὡς ἐλευθέρους ὄντας ἀζάμιοι ὄντες | καὶ ἀνυπόδικοι πάσας δίκας καὶ ζαμίας. Μάρτυρες· ἱερεῖς τοῦ Ἀπόλλωνος | Λαιάδας Βαβύλου, Νικόστρατος Ἄρχωνος καὶ ἰδιῶται Φιλόνικος Διοδώ|ρου, Καλλίστρατος Αἰακίδα, Πάσων Ὀρέστα, Βαβύλος Αἰακίδα, Κλέων Κλεοδά|μου, Δάμων Μένητος, καὶ ὁ νεοκόρος τοῦ Ἀπόλλωνος Δάμων Ὀρθαίου. | Εἰ δέ τι γένοιτο περὶ

Γρῖπον ἢ Φιλὼ ἀνθρώπινον, ποησάτω τὰ ποτὶ γᾶν πάντα | Φίλων, καὶ ὅσα κα ἀπολίπωνται πάντα λαβέτωσαν κοινῶς Φίλων καὶ Φίλιππος. | Παραμεινάτω δὲ Φίλιππος Γρείπω καὶ Φιλοῖ.....

WF. 435.

10 συλήοντες: etiam WF. 442, 12, volgo συλέοντες; συλῆν 137, 4. 138, 3. Cf. ἀπαλλοτριώουσα WF. 19, 8; ἀπαλλοτριωοίη 53, 13.

---

219 Delphis in muro Pelasgico.

Ἄρχοντος Θαρρ[έ]ος(?) μηνὸς Παναγυρίου ὡς Ἀμφισσεῖς | ἄγοντι, ἐν Δελφοῖς δὲ ἄρχοντος Δαμοστράτου μηνὸς | Ποιτροπίου, ἀπέδοτο Τέλων καὶ Κλητώ, συνευδοκέον|τος τοῦ υἱοῦ sic
5 Στράτωνος, τῷ Ἀπόλλωνι τῷ Πυθίῳ σῶμα || ἀνδρεῖον ᾧ ὄνομα Σῶσος, τὸ γένος Καππάδοκα, τιμᾶς ἀρ|γυρίου μνᾶν τριῶν, καθὼς ἐπίστευσε Σῶσος τῷ θεῷ τὰν | ὠνάν, ἐφ' ᾧτε ἐλεύθερος εἶμεν καὶ ἀνέφαπτος ἀπὸ | πάντων τὸν πάντα χρόνον. Βεβαιωτὴρ κατὰ τὸν νόμον καὶ κα|τὰ τὸ σύμβολον Φιλόξενος
10 Δωροθέου Ἀμφισσεύς. Ἁ δὲ προ|τερασία ὠνὰ ἁ γενομένα Σώσου τῷ Ἀπόλλωνι ἐπὶ ἄρχον|τος ἐν Δελφοῖς Θρ[α]συκλέος καὶ τὰ ἐν τᾷ ὠνᾷ ποτιγεγραμμέ|να, ὥσστε παραμεῖναι Σῶσον παρὰ Τέλωνα καὶ Κλητὼ ἂς | κα ζώωντι, ἀτελὴς καὶ ἀρμένα ἔστω. Μάρτυροι οἱ ἱερεῖς | τοῦ Ἀπόλλωνος Πραξίας, Ἀν-
15 δρόνικος καὶ ὁ ἄρχων Πυρ|ρίας Ἀρχελάου καὶ Ἀμφισσεῖς Χαρίξενος Ἐκεφύλου, | Πολύχριτος, Ἀριστόδαμος Καλλικλέος, Εὐθύδαμος Πο|λυκρίτου, Δωρόθεος Τιμασίου, Δημήτριος Μονίμου. Τὰν | ὠνὰν φυλάσσοντι οἵ τε ἱερεῖς Πραξίας καὶ Ἀν-
20 δρό|νικος καὶ Ἀμφισσεῖς Πολύχριτος, [Χαρί]ξεν[ος] || Ἐκεφύλου.

Haussoullier, Bull. Corr. Hell. V (1881) p. 428 n. 42.

12 ὥσ(σ)τε Haussoullier; duplex litera videtur in lapide esse et ab editore improbari.

---

220 Delphis prope domum societatis archaeologicae.

[Ἄρχοντος ἐν Δελφοῖς.....τ]οῦ Διοδώρου, μηνὸς Ἡ[ραίου, βουλευόντων | τὰν πρώταν ἐξάμηνον.....τοῦ Εὐ]μαρίδα,

Ἀγίωνος τοῦ Διο....., [γραμμα|τεύοντος] ..... τοῦ Ἀθανίωνος, ἀπέδοντο [Ἀγαθοκλέα | καὶ Εὐγένεα, συνευδοκ]έοντος καὶ τοῦ υἱοῦ Ἀγαθοκλέ[ας..... ‖ ..... σῶμα] γυναικεῖον κοράσιον ᾧ ὄνομα Ὀ[νασίφορον | Ἀπόλλωνι τῷ Πυθίῳ] τιμᾶς ἀργυρίου μνᾶν τριῶν καὶ τὰν τιμὰ[ν ἔχοντι | πᾶ]σαν, καθὼς ἐπίστευσε Ὀνασίφορον τῷ θεῷ τὰν ὠνάν, [ἐφ' ᾧτε | ἐλ]ευθέραν εἶμεν καὶ ἀνέφαπτον ἀπὸ πάντων τὸν πάντα βίο[ν. Βεβαιωτ]ὴρ κατὰ τοὺς νόμους τᾶς πόλιος Δείνων Δαμοστράτου. [Παραμει]νάτω δὲ Ὀνασίφορον Ἀγαθοκλέα καὶ Εὐγενέα ἕως κα ζώων[τι ποιέου]σα τὸ ἐπιτασ(σ)όμενον πᾶν τὸ δυνατόν· εἰ δὲ μὴ ποιέοι, ἐξ[ουσίαν] | ἐχέτωσαν ἐπιτιμέουσαι Ὀνασιφόρῳ τρόπῳ ᾧ κα θέ[λωντι] | καὶ μαστιγοῦσ[α]ι καὶ διδέουσαι πλὰν μὴ πωλέουσα[ι. Εἰ δὲ θέ]λοι προαπενθεῖν Ὀνασίφορον sic πρὸ τοῦ παραμεῖναι τὸγ χ[ρόνον, ἐπι]δότω ἀργυρίου μνᾶς τρεῖς Ἀγαθοκλέα καὶ Εὐγενέα καὶ ἀπολ[ελυμέ]να ἔστω τὰς παραμονᾶς. Εἰ δέ τις ἐφάπτοιτο Ὀνασιφόρου [ἐπὶ κα]ταδουλισμῷ, βέβαιον παρεχέτωσαν τῷ θεῷ τὰν ὠνὰν αἵ [τε ἀπο]δόμεναι καὶ ὁ βεβαιωτήρ· ὁμοίως δὲ καὶ ὁ παρατυχὼν κύρι[ος] | ἔσ[τω] συλέων Ὀνασί*φορον ἐλευθέραν οὖσαν ἀζά- μιο[ς ὤν ‖ καὶ ἀνυπόδικος πάσας δίκας καὶ ζαμίας].....

Jon. Schmidt, Mitteil. arch. Inst. V (1880) p. 201 sq.

19 I litera deleta.

XI. Tituli Phocensium et Locrorum.

In dialecto Locrorum *o* et *e* longas per contractionem factas ω, η esse, per productionem suppletoriam ου, ει, apparet ex ea ratione scribendi, quae adhibita est in n. 229. Cf. de Wilamowitz, Zeitschr. f. Gymn.-Wesen 31 p. 642. Idem p. 641 putat dativos sing. I et II declinationum apud Locros et Phocenses item atque apud Boeotos, Aetolos, Acarnanes non in -ᾳ, -φ sed in -αι, -οι exiisse. Quod quamquam probabile est, tamen incertum esse ipse non negat.

Paus. Ἠλεών. Last village of Phokis on side of Boiotia. The agreement
seems to become the seat of affairs and to give its name to the
community. The old Medeon maintained

1. Tituli Phocensium.

221 [= 90] Lapis insertus muro meridionali monasterii St. Lucae, quod in loco veteris Stiridis exstat.

Ἀγαθ[ᾶ]ι τούχα[ι]. Ἀν[βρυσεῖς? ἔδω]|καν Ὀρθοτίμοι Καλαιοο
... | τυλισιοι προξενίαν, αὐ[τοῖ καὶ] | ἐκγόνοις, καὶ ἔγκτησιν
[γᾶς καὶ] || οἰκίας καὶ ἐπινομίας καὶ [ἀσυλ]ίαν καὶ ἀσφάλειαν sic
καὶ πο[λέμω] | καὶ εἰράνας καὶ τἄλλα ὅ[σα καὶ] | τοῖς ἄλλοις
προξένοις κα[ὶ εὐερ]γέταις, ἀρχόντων Δαμία.... || Κλεομέ-
δοντος.

Rangabé, Ant. Hell. 739. — Vix recte putat hunc titulum ante Phocensium oppida per Philippum regem (a. 346) deleta scriptum esse.

1 ΑΓΛΟΙϚ ‹ΛΑ, inde τούχα[ι] scripsit Rangabé, ut ου more Boeotico pro υ scriptum sit. Cf. n. 222. — 9 ΔΑΜΙΔ.

---

222 Ambrysi.

Πανταινέτα | Ξενοκρατεία |
Δάματρι | καὶ Κόρη.

Le Bas, Voy. arch. II n. 973.

2 Ξενοκρατεία: adiectivum patronymicum more Boeotico factum. Cf. n. 221.

---

223 Pila marmoris caerulei Stiride in Phocide reperta.

A

[Θ]εὸς τύχαν ἀγα[θ]άν. Στραταγέοντος | [τ]ῶν Φωκέων Ζευ-
ξίου, | [μ]ηνὸς ἑβδόμου, ὁμολο[γ]ία τᾶ πόλει Στειρίων καὶ |
[τᾶ] πόλει Μεδεωνίων. Συ[ν|ε]πολίτευσαν Στείριοι κα[ὶ | Μ]ε-
δεώνιοι ἔχοντες ἱερά, πό[λι]ν, χώραν, λιμένας, πάντα || [ἐ]λεύ-
θερα ἐπὶ τοῖσδε· εἶμεν | [τ]οὺς Μεδεωνίους πάντας | [Σ]τιρίους
ἴσους καὶ ὁμοίους, | καὶ συνεχ(κ)ησιάζειν καὶ συναρχοστα-
τεῖσθαι μετὰ τᾶς || [πό]λιος τῶν Στιρίων καὶ δικά[ζ]ειν τὰς
δίκας τὰς ἐπὶ πόλι[ο]ς πάσας τοὺς ἐνικομένους | [τ]αῖς ἁλικίαις.
Ἱστάνθω δὲ κα[ὶ | ἱ]εροταμίαν ἐκ τῶν Μεδεω[ν]ίων ἕνα τὸν

θυσέοντα τὰς | θυσίας τὰς πατρίους Μεδεων[ί]οις, ὅσαι ἐντὶ ἐν τῶ πολιτικῶ νόμ[ω, | μ]ετὰ τῶν ἀρχόντων τῶν στα[θ]ένταν ἐν Στίρι· λανβανέτω || [δ]ὲ ὁ ἱεροταμίας ἀρέσμιον ὃ τ[οὶ | ἄ]ρχοντες ἐλάμβανον, ἡμι[μ]ναῖον καὶ τῶν χοῶν τὸ ἐπ[ι|β]άλ(λ)ον τῶ ἱεροταμία· συνδι[κ]άξει δὲ ὁ ἱεροταμίας μετὰ || [τ]ῶν ἀρχόντων τὰς δίκας ἃς | [τ]οὶ ἄρχοντες δικάζοντι, καὶ [κ]λαρώσι τὰ δικαστήρια, ἃ κα | δέη κλαρώειν μετὰ * τῶν ἀ[ρ]χόντων. Μὴ ἔστω δὲ ἐπάναγ[κ]ες λειτουργεῖν τοὺς Μεδε|ωνίους ἐν Στίρι τὰς ἀρχάς, ὅσοι | γεγένηνται ἐν Μεδεῶνι ἄρ|χοντες, ξενοδίκαι, πρακτῆρες, | δαμιουργοί, ἱερεῖς, ἱεράρχαι, καὶ || τᾶν γυναικῶν ὅσαι ἱερητεύ[κατι, εἰ μή τις ἑκὼν ὑπομένοι· | ἱστάνθων δὲ ἐκ τῶν ἀλειτουργήτων τῶν Μεδεωνίων κ|αὶ ἐκ τῶν Στιρίων. Δαμιουρ[γ]εόντων δὲ καὶ τὰ ἐν Μεδε[ῶνι ἱ]ερὰ καθὼς ὁ πολιτικὸς νό|μος κελεύει. Καὶ τὰν χ[ώ|ρα]ν τὰν Μεδεωνίαν εἶμεν | [π]ᾶσαν Στιρίαν καὶ τὰν Στιρίαν Μεδεωνίαν κοινὰν π[ᾶ|σα]ν. Κοινωνεόντω δὲ οἱ * Μεδε[ώ]νιοι τᾶν θυσιᾶν τᾶν ἐν Στί[ρι] πασᾶν καὶ τοὶ * Στίριοι τᾶν ἐν Με|δεῶνι πασᾶν. Μὴ ἐξέστω δ||ὲ ἀποπολιτεύσασται τοὺ[ς] | Μεδεωνίους ἀπὸ τῶν Στιρί[ω]ν μηδὲ τοὺς Στιρίους ἀπὸ | [τ]ῶν Μεδε[ωνί]ων· ὁπότεροι | [δ]έ κα μὴ ἐμμείνωντι ἐν τοῖ[ς] γεγραμμένοις, ἀποτει|σάντων τοῖς ἐμμεινά[ν]||τοις ἀργυρίου τάλαν|τα δέκα.

B

.....[π]οιεόντων, | [γ]ραψάντων δὲ τὰν ὁμ[ο]||λογίαν ἐν στάλαν καὶ ἀν[αθέ]||ντων ἐν τὸ ἱερὸν τᾶς Ἀ[θάν]||ας, θέστων δὲ τὰν ὁμο[λογί]|αν καὶ παρὰ ἰδιώταν ἐσ[φρα]γισμέναν. Ἁ ὁμολογία π[αρὰ] | Θράσωνα Λιλαιέα. Μάρ[τυ]ρες· Θράσων Δαματρίου Ἐ|λατεύς, Εὐπαλίδας Θρά|σωνος Λιλαιεύς, Τιμο|κράτης Ἐπινίκου Τιθορρε|ύς· δόντων δὲ τοὶ Στίριοι | τὰ φατρία τῶν Μεδεωνί|ων ἐν ἐτέοις τεττάροις | ἀργυρίου μνᾶς πέντε κα[ὶ | τ]όπον τὰν καλειμέναν | .α..τρειαν.

Mondry Beaudouin, Bull. Corr. Hell. V (1881) p. 42 sqq. — Titulus est aetatis Aetolicae. Θράσων Εὐπαλίδα Λιλαιεὺς (*B* 8) et Θράσων Ἐλατεὺς (*B* 9 sq.) commemorantur etiam in titulo Delphico WF. 81, 7. 12, scripto anno 192 a. Chr.

A 18 ἱστάνθω, 42 ἱστάνθων: med. et pass., cf. Blass Rhein. Mus. 36 p. 610; προϊστάνθω Lebad. n. 328. — 25 ἀρέσμιον: videtur esse quod postea dictum est honorarium. — In fine OI.

25 ἀρτόμιον < ἀρτάκιον. cf ἀρτοπήρ kind of cake offered to gods
IG II² c. 1. A. II 631

13 ξενοδίκης cf praetor peregrinus

40 ἐθώκατο

44. δαμιοεργοί here town officials

. Βριλησσηνῶν . Lo κὰ ἀρτόσται Εὐ. λυσαάτω,
Ἰλιεῖς (C' 104) εἰ δέ κα ἄλλο πολιτεύωντι Πηρρεῖς ἀπὸ Μελιταέων

B 13 forgotten when A written

7. Δελφὶς ἁ ἀνὰ παρά . τὸ ὁμόλογον πάρ·

— 33 κλαρώειν: cf. ἀπαλλοτριώουσα et alia, ad Delph. n. 218. — **ΤΑ** literae deletae. — 53 **ΤΟΙ** literae deletae. — 57 **ΗΜΗΔΕ**. — *B* 14 φατρία: cf. [Δ]ιὸς Φατρίο[υ] n. 159.

---

224 [= 89] Inter rudera Stiridis, prope ecclesiam ruinosam.

Θεὸς τύχαν ἀγαθάν. Ἄρχοντος ἐν Στείρι | Κάλλωνος τοῦ Ἀγήσωνος μηνὸς τετάρ|του, Πραξίας Θέωνος ἀφίητι ἐλευθέρους (τὰν) ἰδίαν (δούλαν) Εὔπραξιν | καὶ τὸ ἐξ αὐτᾶς παιδάριον ὦ ὄνομα Δωρίων. Μὴ κα‖ταδουλιξάσθω δὲ αὐτοὺς μηθεὶς μηδὲ καθ' ὁποῖ|ον τρόπον. Οἳ καὶ παραμεινάτωσαν Πραξία καὶ τᾶ γυ|ναικὶ αὐτοῦ Ἀφροδισία ἕως ἂν ζῶντι καὶ θαψάντω καὶ τ[ὰ] | ὥρια αὐτῶν ποιησάτωσαν· εἰ δὲ μὴ θάψωντι καὶ ποιήσων|τι τὰ ὥρια αὐτῶν, καθὼς προγέγραπται, ἀτελὴς ἔστω ἁ ἀ|νάθεσις καὶ ποταποτισάτωσαν ἀργυρίου μν|ᾶς τριάκοντα. Εἰ δέ τις ἐπιλανβάνοιτο αὐτῶ|ν ἢ καταδουλίζοιτο, ἅ τε γενηθῖσα δουλαγω|γία αὐτῶν ἄκυρος καὶ ἀρ*μένα ἔστω καὶ ποτα‖[π]οτισάτω ὁ καταδουλιζόμενος μνᾶς τριάκοντα, ‖ [κα]ὶ τὸ μὲν ἥμισον ἔστω τοῦ προστάντος, τὸ | [δὲ] ἥμισον τοῦ Ἀσκλαπιοῦ· ἐξέ|στω δὲ προστ‖[ὰ]μεν ὑπὲρ αὐτοὺς τὸν θέλοντα Φωκέων.

Ross Inscr. Gr. ined. 73. Le Bas Voy. arch. II 993. Literarum formae sunt aetatis Romanae. Titulus inscriptus est basi donarii, quod olim Philo lapicida Aesculapio posuerat.

9 **ΑΤΕΛΝΣ** —, in fine **Λ**. — 12 **ΤΡ**. — 13 ἀρ*μένα: **Ε** litera deleta. Cf. n. 216, 11. 219, 13. — 14 **ΟΤΙΖΑΤΩ**. — 17 **ΕΥΤΟΥΣ**.

---

225 Tithorae.

Θεὸς τύχαν ἀγαθάν. Ἄρχοντος ἐν Τιθόρρᾳ | Ἀρμοξένου τοῦ Θεοξένου, ἱερητεύοντος δὲ τῶ | θεῷ τῷ Σαράπει Νικοδάμου τοῦ Βίωνος, μηνὸς πέμ|πτου, ἀπέδοντο Νεοπτόλεμος Ξενοφίλου καὶ Με‖νέμαχος Μενεφίλου, συνευδοκέοντος καὶ τοῦ υἱοῦ | Νεοπτολέμου Μενεμάχου, τῷ θεῷ τῷ Σαράπει ἐπ' ἐ|λευθερίᾳ τὸν ἴδιον ἐξελεύθερον Νίκωνα τιμᾶς ἀργυρίου | μνᾶν εἴκοσι· τὰν τιμὰν ἔχει πᾶσαν. Βεβαιωτὴρ Λυσίας Τιμασ[ωνος]. | Μὴ καταδουλιξάσθω δὲ μηθεὶς Νίκωνα μήτε

αὐτὸν μήτε || τὰ ὑπάρχοντα μηδὲ καθ' ὁποῖον τρόπον· εἰ δέ τις καταδουλίζοι|το, ἀποτεισάτω ἀργυρίου τάλαντον ποθίερον τοῦ Σαράπι[ος]· | ἐξέστω δὲ καὶ προστᾶμεν τῷ θέλοντι Φωκέων, καὶ | τὸ μὲν ἥμισον ἔστω τοῦ προστάντος, τὸ δὲ ἥμισον τοῦ | θεοῦ τοῦ Σαράπιος. Ἃ ὠνὰ παρὰ τὸν θεὸν τὸν Σάραπιν || καὶ τὸ ἀντίγραφον παρὰ τὸν ἄρχοντα Ἀρμόξενον. Μάρτυ|ρες Λάων Λάμπρωνος, Σώκλαρος Ἀγία, Πολύξενος Ξένω|νος.

Ulrichs, Rhein. Mus. N. F. II (1843) p. 553 n. 1. Le Bas, Voy. arch. II n. 823, I. — Et hunc titulum et similes eisdem locis editos Nervae imperatori aequales putat Ulrichs.

---

2. Tituli Locrorum Opuntiorum.

226 Tituli sepulcrales.

1 Ἀγαινέτο. — IGA. 309.

2 Ἐχσαίνετος. — IGA. 311. Quinta litera apud Girardium, Bull. Corr. Hell. II tab. 26 n. 26, est Γ.

3 Πολυδάμαντος. — IGA. 312.

4 Διογείτον. — IGA. 315.

---

227 In ventre scyphi nigri reperti in sepulcris prope oppidum Livanatas (in Locris Opuntiis). Roehl.

Καλ(ά). Παντέλεος τὰ ποτέρια. Καλά.

Girard, Bull. Corr. Hell. II (1878) p. 588. IGA. 307. — Tertium vocabulum scriptum est ΒΑ.

---

228 [= 92] In solo Opuntis veteris.

.....ος Πύθωνος. Ὀπούντιοι καὶ Λοκροὶ
[οἱ μετὰ Ὀπουντίων ἔδω]καν Δικαιάρχῳ Εὐίππου, Ἀφθονήτῳ
..... Κεφαλλάνεσσι ἐκ Κρανίων

Meyer. Forschungen z. alten Gesch. I. 291

Digitized by Google

[καὶ τοῖς ἐκγόνοις αὐ]τῶν προξενίαν, πολιτείαν, ἰσοτέλειαν,
[ἀσφάλειαν καὶ πολέμο]υ καὶ εἰράνας καὶ αὐτοῖς καὶ χρημάτεσ-
[σι καὶ κατὰ γᾶν κ]αὶ κατ[ὰ] θάλασσαν, καὶ ὅσα τοῖς ἄλλοις προξέ-
[νοις καὶ εὐεργ]έταις δίδοται, πάντα κατὰ τὸν νόμον. Ἔγγυοι
..... τρόφου, Κάλλων Καλλιστράτου.

Cumanudes, Ἀθήναιον I (1872) p. 547 (487). Titulum repetiit et de rebus publicis Locrorum Epicnemidiorum disseruit Weil, Arch. Zeit. 31 (1874) p. 142.

---

3. Tituli Locrorum Ozolarum et Epizephyriorum.

Locrorum civitatem in Magna Graecia sitam non ab Epicnemidiis sed a Locris occidentalibus (Ozolis) conditam esse monet Strabo VI p. 259.

229 [= 91] Tabula aenea reperta in oppido Galaxidi (Oeantheae), postea cum collectione Woodhouse equitis Londinum translata.

Καὶ τῶνδε = Α κατὰ τάδε; cf. θ 150 ἢ, καθ' ἃν = καθά

Ἐν Ναύπακτον κἀ[τ] τόνδε ἁ ϝ'πιϝοικία· Λοϙρὸν τὸν Ὑποκναμίδιον, ἐπ|εί κα Ναυπάκτιος γένεται, Ναυπάκτιον ἐόντα ὅπο(ς) ξένον (ϝ)όσια λανχάν|ειν καὶ θύειν ἐξεῖμεν ἐπιτυχόντα, αἴ κα δείλεται· αἴ κα δείλεται, θύειν καὶ λ|ανχάνειν κὲ
δάμο κὲ ροινάνον, αὐτὸν καὶ τὸ γένος καταιϝεί. Τέλος το|ὺς ἐπιϝοίϙους Λοϙρῶν τῶν Ὑποκναμιδίον μὲ φάρειν ἐν Λοϙροῖς τοῖ|ς Ὑποκναμιδίοις, ϙρίν κ' αὖ τις Λοϙρὸς γένεται τῶν Ὑποκναμιδίον. Αἴ (κα) | δείλετ' ἀνχορεῖν, καταλείποντα ἐν τᾷ (ϝ)ιστίᾳ παῖδα ἑβατὰν ἔ 'δελφεὸν ἐξ|εῖμεν ἄνευ ἐνετερίον· αἴ κα ὑπ' ἀνάνκας ἀπελάονται ἐ Ναυπάκτο Λοϙ|ροὶ τοὶ Ὑποκναμίδιοι, ἐξεῖμεν ἀνχορεῖν, ὅπο ϝέκαστος ἔν, ἄνευ
ἐ|νετερίον. Τέλος μὲ φάρειν μεδὲν, ὅτι μὲ μετὰ Λοϙρῶν τῶν ϝεσπαρί|ον. — Α. Ἔνορρον τοῖς ἐπιϝοίϙοις ἐν Ναύπακτον· μὲ 'ποστᾶμεν ἀπ' (Ὀπ)οντίον | τέκνᾳ καὶ μαχανᾷ sic μεδεμιᾷ ϝερόντας. Τὸν ὅρϙον ἐξεῖμεν, αἴ κα δεί|λονται, ἐπάγειν μετὰ τριάϙοντα ϝέτεα ἀπὸ τῶ ὅρϙο ἑκατὸν ἄνδρας

Ὀ|ποντίοις Ναυπακτίον καὶ Ναυπακτίοις Ὀποντίους. —
15 B. Ὅοστις κα λιποτελέ|ι ἐγ Ναυπάκτο τὸν ἐπιϝοίρον, ἀπόλοϙρον εἶμεν, ἔντε κ' ἀποτείσῃ τὰ νό|μια Ναυπακτίοις. — Γ. Αἴ κα μὲ γένος ἐν τᾷ (ϝ)ιστίᾳ ἓ ἐχέπαμον τὸν ἐπι|ϝοίϙον • ἐν Ναυπάκτῳ, Λοϙρῶν τὸν Ὑποκναμιδίον τὸν ἐπάνχισ|τον κρατεῖν, Λοϙρῶν ὅπο κ' ἓ, αὐτὸν ἰόντα, αἴ κ' ἀνὲρ ἓ ἒ παῖς, τριῶν μ|ενῶν· αἰ δὲ μέ, τοῖς Ναυπακτίοις νομίοις
20 χρῆσται. — Δ. Ἐ Ναυπάκτο ἀνχορέ‖οντα ἐν Λοϙροὺς τοὺς Ὑποκναμιδίους ἐν Ναυπάκτῳ καρῦξαι ἐν τἀ|γορᾷ, κὲν Λοϙροῖς τοῖ|ς Ὑποκναμιδίοις ἐν τᾷ πόλι, ὃ κ' ἓ, καρῦξαι ἐν | τἀγορᾷ. — Ε. Περροθαριᾶν καὶ Μυσαχέον, ἐπεί κα Ναυπάκτι|ός τι|ς γένεται, αὐτὸς καὶ τὰ χρέματα τὲν Ναυπάκτῳ τοῖς ἐν Ναυπάκτῳ (νομίοις) χρῆσται, | τὰ δ' ἐν Λοϙροῖς τοῖς
25 Ὑποκναμιδίοις χρέματα τοῖς Ὑποκναμιδί‖οις

B

νομίοις χρῆσται, ὅπος (ϝ)α πόλις ϝεκάστον νομίζει Λοϙρὸν τὸν Ὑποκν|αμιδίον. Αἴ (κά) τις ὑπὸ τὸν νομίον τὸν ἐπιϝοίϙον ἀνχορέῃ Περροθαριᾶ|ν καὶ Μυσαχέον, τοῖς (ϝ)αυτὸν νομίοις χρῆσται κατὰ πόλιν ϝεκάστους. | — ϝ. Αἴ κ' ἀδελ-
5 (30) φεοὶ ἔοντι τὸ 'ν Ναύπακτον ϝοικέοντος, ὅπος καὶ Λοϙρὸ‖ν τὸν Ὑποκναμιδίον ϝεκάστον νόμος ἐστί, αἴ κ' ἀποθάνῃ, τὸν χ|ρεμάτον κρατεῖν τὸν ἐπίϝοιϙον, τὸ κατιϙόμενον κρατεῖν. — Ζ. | Τοὺς ἐπιϝοίϙους ἐν Ναύπακτον τὰν δίκαν πρόδιϙον ἀρέσται πὸ(τ) τοὺς δ|ικαστᾶρας, ἀρέσται καὶ δόμεν ἐν Ὀπόεντι κατὰ ϝέ(τ)ος αὐταμαρόν. Λοϙ|ρῶν τὸν Ὑποκναμιδίον προ-
10 (35) στάταν καταστᾶσαι, τὸν Λοϙρῶν τὸπιϝ‖οίϙϙ καὶ τὸν ἐπιϝοίϙον τᾷ Λοϙρᾷ, οἵτινές κα πιατεσεντιμοιεσ. — Η. Ὅσ|στις κ' ἀπολίπῃ πατάρα καὶ τὸ μέρος τῶν χρεμάτων τᾷ πατρί, ἐπεί κ' | ἀπογένεται, ἐξεῖμεν ἀπολαχεῖν τὸν ἐπίϝοιϙον ἐν Ναύπακτον. | — Θ. Ὅστις κα τὰ ϝεϝαδερότα διαφθείϙῃ τέχνᾳ καὶ μαχανᾷ κα|ὶ μιᾷ, ὅτι κα μὲ ἀνφοτά-
15 (40) ροις δοκέῃ, Ὀποντίον τε χιλίον πλέθ‖ᾳ καὶ Ναϝπακτίον τὸν sic ἐπιϝοίϙον πλέθᾳ, ἄτιμον εἶμεν καὶ χρέ|ματα παματοφαγεῖσται. Τὸνκαλειμένῳ τὰν δίκαν δόμεν τὸν ἀρ|χόν, ἐν τριάϙοντ' ἀμάραις δόμεν, αἴ κα τριάϙοντ' ἀμάραι λείποντ|αι τᾶς ἀρχᾶς· αἴ κα μὲ διδῷ τῷ ἐνκαλειμένῳ τὰν δίκαν, ἄτιμ|ον
20 (45) εἶμεν καὶ χρέματα παματοφαγεῖσται. Τὸ μέρος μετὰ ϝοικιατᾶν διομόσαι ὅρϙον τὸν νόμιον· ἐν (ϝ)υδρίαν τὰν ψά-

κα πίαρες Ἔντιμοι Ἕ[ωνες].dt

Digitized by Google

φιξ|ξιν εἶμεν. Καὶ τὸ θέθμιον τοῖς Ὑποκναμιδίοις Λοφροῖς ταὐ|τᾶ τέλεον εἶμεν Χαλειέοις τοῖς σὺν Ἀντιφάτᾳ ϝοικεταῖς.

Oeconomides, Ἐποίκια Λοκρῶν γράμματα κτλ., ἐν Ἀθήναις 1869. Vischer, Rhein. Mus. 26 (1871) p. 39 sqq. = Kleine Schr. II p. 172 sqq. Roehl IGA. 321. — Titulum priori parti seculi 5 tribuit Kirchhoff Alph.[3] 137, qui putat in hac tabula nihil nisi extremam partem totius foederis scriptam esse; nam verbis, quae ab initio legantur, integram sententiam non effici. Aliter hanc difficultatem tollere studuit Roehl, qui putat v. 1 pauca verba per scribentis neglegentiam omissa esse. Quomodo acciderit, ut foedus inter Locros Epicnemidios et colonos ab eis missos factum a Locris Ozolis aeri incisum exstet, explicavit Roehl l. l.

A 1 κὰ(τ) τόνδε ἀ(γέστο τὸν νόμον ἐπιϝοικία coni. Roehl. — 2 Ὄπο (κ' ἔ Λοφρὸν), ξένον (gen. plur.) scripsit Roehl ex coniectura Wilamowitzii. — 8 ἐ Ναυπάκτο: cf. Roehl ad IGA. 322. — 10 **ΝΕΤΑ**. — 17 **ΕΙ** literae deletae. — *B* 5 αἴ κ' ἀποθάνῃ (τὸν ἀδελφεὸν τις ἄπαις): suppl. Roehl, putans haec verba a scribente omissa esse; sententiam eandem postulaverat Vischer. — 8 ϝέ-(τ)ος: suppl. Vischer; κατὰ ϝέος, i. e. »adversus se«, Roehl.

---

230 [= 94] Tabula aenea reperta in oppido Galaxidi (Oeanthea vetere), postea cum collectione Woodhouse equitis Londinum translata.

A

Τὸν ξένον μὲ ἄγε(ι)ν ἐ τᾶς Χαλεῖδος τὸν Οἰανθέα μ|εδὲ τὸν Χαλειέα ἐ τὰς Οἰανθίδος, μεδὲ χρέματα αἴ τι(ς) συ|λῇ· τὸν δὲ συλῦντα ἀνὰ τὸ συλῆν τὰ ξενικὰ ἐ θαλά(σ)σας ἄγε(ι)ν | ἄσυλον, πλὰν ἐ λιμένος τῦ κατὰ πόλιν. Αἴ κ' ἀδίκο(ς) συλῇ, sic
5 τέ|τορες δραχμαί· αἰ δὲ πλέον δέκ' ἀμαρᾶν ἔχοι τὸ σῦλον, ἐ|μιόλιον ὀφλέτο, ϝότι συλάσαι. Αἰ μεταϝοικέοι πλέον μενὸς ἔ | ( )ο Χαλειεὺς ἐν Οἰανθέᾳ ἔ ( )Οιανθεὺς ἐν Χαλείῳ, τᾷ ἐπιδαμίᾳ δίκᾳ χρέστο. Τὸν πρόξενον, αἰ ψευδέα προξενέοι, διπλ|εῖ (ϝ)οι θοῖ' ἔστο. ‖

B

Αἴ κ' ἀνδιχάζοντι τοὶ ξενοδίκαι, ἐπομότας ἐλέσ|το ( )ο ξένος ( )οπάγον τὰν δίκαν ἐχθὸς προξένο | καὶ ϝιδίο ξένο ἀριστίνδαν,

ἐπὶ μὲν ταῖς μναια|ίαις καὶ πλέον πεντεκαίδεκ' ἄνδρας, ἐπὶ
5 (14) (δὲ) ταῖς || μειόνοις ἐννέ' ἄνδρας. Αἴ κ' (ἔ)ρ ϝασστὸς πὸτ τὸν
ϝ|αστὸν δικάζεται κὰ(τ) τὰς συνβολάς, δαμιοργο(ὺ)ς | ἑλέσται
το(ὺ)ς ὁρκομότας ἀριστίνδαν τὰν πε|ντορκίαν ὀμόσαντας· το(ὺ)ς
ὁρκομότας τὸν αὐτὸ|ν ὅρκον ὀμνύε(ι)ν, πλεθὺν δὲ νικῆν.

Oeconomides, Λοκρικῆς ἀνεκδότου ἐπιγραφῆς διαφώτισις, ἐν Κερκύρᾳ, 1850; Ross, Alte lokrische Inschrift von Chaleion oder Oiantheia, Lpzg. 1854; Kirchhoff, Philol. 13, p. 1 sqq.; Roehl IGA. 322. — Hunc titulum circa initium belli Peloponnesiaci scriptum esse docet Kirchhoff Alph.[3] 136. Continet non integrum foedus inter Chaleenses et Oeanthenses factum sed aut partem eius aut corollarium.

A 1 ἐ τᾶς: cf. n. 229, 8. — 3 ita Kirchhoff; Roehl scripsit: τὸν δὲ συλῶντα ἀνάτω(ς) [impune] συλῆν. Τὰ ξενικὰ ἐ θαλά(σ)σας κτλ. — 8 sq. ita Kirchhoff; Roehl dubitanter scripsit: διπλ|είῳ θῳ-
έστω, i. e. duplici multa multator. — *B* 5 ΓΟΙ.

---

231 Ansa vasis aenei reperti in oppido Galaxidi.

Εὔφαμος καὶ τοὶ συν|δαμι-
οργοὶ ἀνέθεκαν | τῷ ἔροϊ.

Kirchhoff Alph.[3] 137. Roehl IGA. 323.

---

232 Decretum Chaleensium repertum prope Asopum flumen.

Ἀγαθᾷ τύ[χᾳ].

Ἄρχοντος Ξένωνος, ἐ[ν Αἰγίῳ δὲ δα]μιοργέοντος Μίκκωνος·
5 ἐπ[ειδὴ] | Κλεογένης Ἀλκιθόου Αἰγιευ[ς] || εὔνους ὢν καὶ εὔ-
χρηστος διατε[λεῖ] | τᾷ πόλει τῶν Χαλειέων, ἔδοξε τᾷ πό|λει
ἐν ἐννόμῳ ἐκκλησίᾳ· πρόξεν|ον εἶμεν καὶ εὐεργέταν τᾶς πό-
10 λιο[ς] | τῶν Χαλειῶν Κλεογένη Ἀλκιθόου Αἰγ[ιέα] || καὶ ἐκ-
γόνους αὐτοῦ, καὶ εἶμεν α[ὐτ]ῷ ἰσο[πο]|λιτείαν καὶ ἀσφάλειαν
καὶ ἀσυλίαν καὶ [πολέ]|μου καὶ εἰράνας καὶ γᾶς καὶ οἰκίας
ἔνκτησ[ιν] | καὶ τὰ ἄλλα ὑπάρχειν αὐτῷ πάντα, ὅσα | τοῖς
15 ἄλλοις προξένοις καὶ εὐεργέτ[αις] || τᾶς πόλιος ὑπάρχει.

CIG. 1567. Le Bas, Voy. arch. II n. 580. — Et hunc titulum et CIG. 1594. 1607 non Chalia ex oppido Boeotico ad Euripum

in the generosity of Eumenes II to the Greeks, Polyb. 32. 23, Strabo XIII. p. 624
Between 179, when the war against Perseus and Pharnaces was finished, and 172
when war against Perseus began, comes the breathing space for establishment
Nicephoria

sito sed Chaleo Locrico oppido ortos esse demonstravit Ahrens Dial. I p. 235.

2 sq. [δα]‖μιοργέοντος: magistratum Achaicum esse monuit Boeckh. Cf. ad n. 274.

---

233 Locris Epizephyriis.

Οἰνιάδας | καὶ Εὐκέ|λαδος | καὶ Χείμ‖αρ(ρ)ος |
ἀνέθεκ|αν τᾷ θ|εῷ.

CIG. 5769 = Vol. III Add. p. 1252. IGA. 537.

---

234 Galea aenea, quae e regione Locrorum Epizephyriorum oriunda esse dicitur.

[Π]εριφόνᾳ | [ἀνέθε]κέ με Ξενάγατ[ος].

CIG. 5778 *b*. IGA. 538. — Roehl confert formam Laconicam Πηρεφόνεια quae est apud Hesychium.

XII. Tituli Aetolici.

235 Delphis in muro Pelasgico.

Στραταγέοντος Τιμαίου ἔδοξε τοῖς | Αἰτωλοῖς· μηθένα τῶν
ἐν Δελφοῖς συνοί|κων ἀτελέα εἶμεν, εἴ κα μὴ δοθῆ[ι] παρὰ |
τᾶς πόλιος τῶν Δελφῶν ἀτέλεια, καὶ εἴ ‖ τινοις ἔμπροσθεν
ἀτέλεια γέγονε | μὴ δόντων τῶν πολιτᾶν, ὑποτελεῖς | εἶμεν
καθὼς καὶ οἱ λοιποὶ σύνοικοι.

Haussoullier, Bull. Corr. Hell. V (1881) p. 404 n. 14. — Supra (p. 141) iam commemoratum est inde ab anno 290 a. Chr. Delphos dominationi Aetolorum subiectos fuisse.

---

236 Tabula marmorea Delphis reperta.

[Ἔδοξε τοῖς] Αἰτωλοῖς· [ἐπ]ε(ὶ) βασιλεὺς Εὐμένης ὑπάρχων φίλος
καὶ σύμμαχος διὰ προγόνων τὰν οὖσα[ν] | πρότερον εὔνοιαν
ἐμ παντὶ καιρῷ φανερὸς γίνεται συναύξων καὶ πολλὰς καὶ

μεγάλας ἀποδείξε[ις | ποιούμενος τ]ᾶς ἐν τὸ ἔθνος εὐνοίας καὶ τοὺς ἄλλους Ἕλλανας, ἀεὶ τὰ συμφέροντα διαπρασσόμενο[ς | σπουδᾶς καὶ] φιλοτιμίας οὐθὲν ἐνλείπων, γεγονότων τε αὐτοῖ πολλῶν καὶ μεγάλων εὐάμερημά[των || διὰ τοὺς π]ολέμους, ἐπαυξηκὼς τὰμ βασιλείαν καὶ ἐν τὰν καλλίσταν διάθεσιν ἀγνηκὼς κέκρικε | [τιθέναι] ἀγῶνας καὶ θυσίας τᾷ Ἀθάνᾳ τᾷ Νικαφόρῳ μετὰ τῶν ἀδελφῶν καὶ τοῦ δάμου τῶν | [Περγαμηνῶ]ν, περὶ πλείστου ποιούμενος τὰν ποτὶ τοὺς θεοὺς εὐσέβειαν, παρακαλεῖ [δ]ὲ καὶ το[ὺς | Αἰτωλοὺς ἐ]ξαπ[ε]σταλκὼς θεωροὺς Πέρσαν, Θεόλυτον, Κτήσιππον, ἀποδέξασθαι τοὺς ἀγῶνας | [τῶν Νικαφ]ορίων στεφανίτας, τὸμ μὲν μουσικὸν ἰσοπύθιον, τὸν δὲ γυμνικὸν καὶ ἱππικὸν ἰσολύμπιον || [καὶ ὁμοί]ως ἄσυλον τὸ τέμενος τᾶς Ἀθάνας τᾶς Νικαφόρου· δεδόχθαι τοῖς Αἰτωλοῖς· [Ἐπ]αινέσαι | [βασιλέ]α Εὐμένη καὶ τοὺς ἀδελφοὺς αὐτοῦ Ἄτταλον, Φιλέταιρον, Ἀθήναιον καὶ βασίλισσαν | [Ἀπολλωνίδα] τὰμ ματέρα αὐτῶν καὶ τὸν δᾶμον τῶν Περγαμηνῶν ἐπὶ τᾷ ποτὶ τοὺς [θεοὺ]ς εὐσεβε[ίᾳ | καὶ στεφανῶσ]αι ἕκαστον αὐτῶν εἰκόνι χρυσέᾳ, τὸμ μὲν βασιλέα ἐφ' ἵππου, τοὺς δὲ ἀ[δελφοὺς πεζικᾷ, | ἀρετᾶς ἕνεκεν] καὶ εὐνοίας τᾶς εἰς τοὺς θεούς· ἀποδεδέχθαι δὲ καὶ τοὺς ἀγῶνας τῶ[ν Νικαφορίων οὓς || ἔθηκε βασ]ιλεὺς Εὐμένης [σ]τεφανίτας, τὸμ μὲν μουσικὸν ἰσοπύθιον, τὸν δὲ γυ[μνικὸν καὶ ἱππικὸν ἰσολύμπιον, | εἶμεν] δ[ὲ τ]οῖς νικεόντοις τῶν Αἰτωλῶν τὰς τιμὰς καὶ τὰ λοιπὰ πάντα τὰ ἐν τ[οὺς νενικηκότας Πυ]θίων κ[αὶ Ὀλυμπίων τὰ κατακεχωρισμένα, καὶ καθάπερ ὁ βασιλεὺς Εὐμένης ἀνα[καλεῖ] τὸ τέ[μενος | τᾶς Ἀθά]νας τᾶς Νικαφόρου τὸ ποτὶ Περγάμῳ ἄσυλο[ν], καθὼς κα ὁρίξῃ, συναποδεδέχθαι τοὺς Αἰτω[λοὺς | ἄσυλον] εἶμεν αὐτὸ τὰ ἀπ' Αἰτωλῶν καὶ τῶν ἐν Αἰτωλίᾳ κατοικεόντων καὶ μηθένα ἄγειν μηδὲ ῥυσ[ιάζειν | τινὰ ἐ]ντὸς τῶν ὁρίων· εἰ δέ τίς κα ἄγῃ ἢ ῥυσιάξῃ ἢ ἀποβιάξαιτο ἢ διεγγυάσῃ, ὑπόδικον εἶμεν ἐν τοῖ[ς | συνέδρ]οις τῷ ἀδικηθέντι καὶ ἄλλῳ τῷ θέλοντι ἐν ταῖς ἐκ ποτιστάσιος δίκαις. Ἀποστέλλειν δ[ὲ | θεωρ]οὺς ἐν Πέργαμον, ἐπε[ὶ] κα ἁ θυσία καθήκῃ τᾷ Ἀθάνᾳ τᾷ Νικαφόρῳ, τᾶς δὲ ἐκπονπᾶς ἐπι[με]λεῖσθαι τὸν στραταγὸν ἀεὶ τὸν ἔναρχον· τοῖς δὲ θεωροῖς τοῖς ἐπαγγελλόντοις τοὺς ἀγ[ῶνας | τῶν Ν]ικαφόρων καταστᾶσαι τὰς πόλεις ἑκάστας θεωροδόκους τῶν ἰδίων πολιτᾶν καὶ ἀνενε[γκεῖ]ν τοὺς ἄρχοντας τοὺς ἀπὸ τᾶν πολίων τῷ στρατα[γῶ]ι [ἢ] προξένῳ ἐν τὰ Πύθια, δίδομεν δ[ὲ] | ....ρον

Pergamum there was a temple of Athena Polias on the acropolis. On the city there was a
temenos with N. τὸ νεὼν Περγάμου. Before 220 (Allen I) there were games in honour of
Athena. ἱερὰν [illegible] time of Antonines

1. cf Mitth. XI. 261. no. 1. = Hoff. II no. 84

Haussoullier : προσταία ? action au même titre et avec le même
droit que le patron le faisait pour son échanger domicilié

30. Allabes I had requires Aequia. Wake only one ambassador from Perpenna

12 Annuq[ue] licentiam che guarantees are the annual kinds of confederation

1. Comm. Wochenschr. 1886, No. 34. ἔναρχον (ὄν) id. cf. B.C.H. VII 417 ff
421 ff II
Mitth. XI. 261. no. 1, - τὸν ἔναρχον ὄντα
- Hoffmann E. p. 61. A

καὶ ξένια ὅσα καὶ τοῖς τὰ Ὀλύμπια ἐπαγγελλόντοις θεωροῖς δίδοντι. Ὅπως δὲ καὶ [ἐν | τοὺς ν]όμους κατάχωρισθῆ ἃ τε ἀποδοχὰ τῶν ἀγώνων καὶ τοῦ ἱεροῦ ἁ ἀσυλία καὶ ἁ τῶν θ[ε]ωροδ[ό]κων κατάστ]ασις καὶ τὰ ἄλλα τὰ ἐν τῷ ψαφίσματι κατακεχωρισμένα, ἐπιμέλειαν ποιήσασθαι τὸν στρατα[γὸν] καὶ τοὺς ἄλλους ἄρχοντας. Ἐπαινέσαι δὲ καὶ τοὺς θε[ωρ]οὺς Πέρσαν Δ[ιο]νυσίου Συρακόσιον, || [Θεόλυτον] Ἀρίσ[τω]νος Αἰγινάταν, Κτήσιππον Δαματρίου Περγαμηνόν, καὶ εἶμεν αὐτοὺς προξένους [καὶ εὐεργέτ]ας τῶν Αἰτωλῶν· ἔγγυος τᾶν προξενιᾶ[ν ὁ γ]ρ[αμματ]εύς. Ἀναγράψαι δὲ καὶ τὸ ψάφισ[μα τόδε ἐν στ]άλαις λιθίναις δύο καὶ ἀναθέμεν τὰν μίαν ἐν Θέρμο[ν], τὰν δὲ ἐν Δελφούς· τὸ δὲ γενόμεν[ον ἀνάλωμα] δόμεν τὸν ταμίαν τᾶς κωλ... κ.λ.ι.ρι.ε....σ....λ..ιλι τὸν γραμματῆ τῶν..... | .....ιαν.....

Haussoullier, Bull. Corr. Hell. V (1881) p. 372 sqq. n. 3. — Eumenes II Attali filius regnavit aa. 197—159; exstant bases statuarum eius ab Aetolis positarum, Rangabé n. 1227 sq., Joh. Schmidt, Mitteil. arch. Inst. V p. 199 n. 60.

---

237 [= 95] Lapis repertus Carthaeae in oppido Cei insulae una cum aliis similibus.

Ἔδοξεν τοῖς Αἰτωλοῖς ποτὶ τοὺς [Κε]ίους τὰν φιλίαν τὰν ὑπάρχουσαν διαφυ|λάσσειν καὶ μηθένα ἄγειν Αἰτωλῶν μηδὲ τῶν ἐν Αἰτωλίᾳ πολιτευόν|των τοὺς Κείους μηθαμόθεν ὁρμώμενον μήτε κατὰ γᾶν μήτε κατὰ θάλατ|ταν μήτε ποτ' Ἀμφικτυονικὸν μήτε ποτ' ἄλλο ἔγκλημα μηθὲν ὡς Αἰτωλῶν || ὄντων τῶν Κείων. Εἰ δέ τίς κα ἄγει τοὺς Κείους, τὸν στραταγὸν ἀεὶ τὸν ἔναρ|χον· τὰ ἐν Αἰτωλίαν καταγόμενα [ἀναπράσσ]οντα κύριον εἶμεν καὶ τοὺς |συνέδρους καταδικάζοντας τοῖς Κείοις [τὰν τῶ]ν ἀ[γόντων αὐ]το[ὺς ζα]μίαν, |ἄ κα δοκιμάζωντι, κυρίους εἶμεν. Στρα[ταγέοντος Ἀρχεδάμου Φόλα (?) τὸ τέ]ταρτον, πρεσβευσάντων ἐν Κέ[φ.....

CIG. 2350. Le Bas Voy. arch. II n. 1763. Fick Bzb. Btr. VII (1882) p. 247 sq. n. 1. — Si Fick nomen praetoris foederis Aetolici ex WF. 121 recte supplevit, hoc decretum factum est intra aa. 180—170; nam ea aetate Athambus et Amyntas, qui testium

munere funguntur in WF. 121, sacerdotes Apollinis Delphici fuerunt; cf. Mommsen Philol. 24 p. 7. 45.

6 TA literae deletae; Boeckh scripsit ἐνάρχοντα; sed vereor ut ἐνάρχω verbum activum umquam in usu fuerit; cf. n. 236, 23. 238, 13. — [ἀναπράσσ]οντα: suppl. Fick ex n. 238, 12 sq.

---

238 [= 96] Prope Teon, extra portam oppidi Sigazik.

Αἰτωλῶν. |

Στραταγέοντος Ἀλεξάνδρου Καλυδωνίου, Παναιτωλικοῖς. | Ἐπεὶ Τήϊοι πρεσ[βευ]τὰς ἀποστείλαντες Πυθαγόραν καὶ Κλεῖτον τάν τε οἰκειότατα | καὶ τὰν φιλίαν ἀνενηοῦντο καὶ παρεκάλεον sic
